# ΕΓΚΥΚΛΟΠΑΙΔΕΙΑ

## ΕΛΛΗΝΙΚΩΝ

# ΜΑΘΗΜΑΤΩΝ,

Συλλεγεῖσα ἐκ τῶν ἀρίστων Ἑλλήνων συγγραφέων καὶ ποιητῶν μετὰ τῶν ἀναγκαίων ὑποσημειώσεων,

ΠΑΡΑ

ΣΤΕΦΑΝΟΥ ΚΟΜΜΗΤΑ.

Νῦν δὲ τὸ δεύτερον ἐκ τῶν λαμπροτέρων ἐκδόσεων ἐπιδιορθωθεῖσα, καὶ μὲ πολλὰς προσθήκας τεμαχίων, καὶ ὁλοκλήρων λόγων, ποιητῶν καὶ λογογράφων, ἀναγκαιούντων εἰς τὴν παράδοσιν τῆς Ἑλληνικῆς γλώσσης, ἐπαυξηθεῖσα, ἐκδίδεται εἰς τόμους δέκα,

ΥΠΟ

ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΓΚΑΡΠΟΛΑ.

ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ.

ΕΚΔΟΣΙΣ ΔΕΥΤΕΡΑ.

ΕΝ ΑΘΗΝΑΙΣ,

ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ ΤΟΥ ΕΚΔΟΤΟΥ Κ. ΓΚΑΡΠΟΛΑ.

1839.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Ε.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

»Εἰ γάρ κεν καὶ σμικρὸν ἐπὶ σμικρῷ καταθεῖο,
»Καὶ θαμὰ τοῦθ' ἔρδοις, τάχα κεν μέγα καὶ τὸ γένοιτο.»

Ἡσίοδος.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

---

# ΕΚ ΤΩΝ ΛΟΥΚΙΑΝΟΥ

## ΣΑΜΟΣΑΤΕΩΣ.

### Ε΄. ΚΑΤΑΠΛΟΥΣ Η ΤΥΡΑΝΝΟΣ (*)

α. Χάρ. Εἶεν, ὦ Κλωθοῖ, τὸ μὲν σκάφος τοῦτο ἡμῖν πάλαι
εὐτρεπὲς, καὶ πρὸς ἀναγωγὴν εὖ μάλα παρεσκευασμένον· ὅ,τε
γὰρ ἄντλος ἐκκέχυται, καὶ ὁ ἱστὸς ὤρθωται, καὶ ἡ ὀθόνη
παρακέκρουσται, καὶ τῶν κωπῶν ἑκάστη τετρόπωται· κωλύει τε
οὐδὲν, ὅσον ἐπ' ἐμοὶ, τὸ ἀγκύριον ἀνασπάσαντας ἀποπλεῖν.
Ὁ δὲ Ἑρμῆς βραδύνει, πάλαι παρεῖναι δέον· κενὸν γοῦν ἐπιβατῶν, 2
ὡς ὁρᾷς, ἔστι τὸ πορθμεῖον, τρὶς ἤδη τήμερον ἀναπεπλευκέναι
δυνάμενον· καὶ σχεδὸν ἀμφὶ βουλυτόν ἐστιν· ἡμεῖς δὲ, οὐδέπω οὐδ'
ὀβολὸν ἐμπεπολήκαμεν. Εἶτα ὁ Πλούτων εὖ οἶδα ὅτι ἐμὲ ῥαθυ- 3
μεῖν ἐν τούτοις ὑπολήψεται, καὶ ταῦτα παρ' ἄλλῳ οὔσης τῆς αἰ-
τίας. Ὁ δὲ καλὸς ἡμῖν κἀγαθὸς νεκροπομπὸς, ὥσπερ τις ἄλλος

---

(*) Τυῤῥηνοὶ βίαιοι ὄντες καὶ λησταὶ, ὀλίγον χρόνον ᾤκησαν ἐν Ἀθήναις, ἔπειτα δ' Ἀθηναῖοι ἐξέβαλον αὐτούς· οἱ οὖν ἐν Ἀθήναις ῥήτορες, ὡς ἐν δημοκρατίᾳ πολιτευόμενοι, τυράννους ἐκάλουν τοὺς βασιλέας. Ὁ οὖν διάλογος οὗτος ἐπιγέγραπται Κατάπλους μὲν, διότι περὶ καταπλεύσεως ψυχῶν εἰς ᾅδου ὁ λόγος. Τύραννος δὲ, ὅτι περὶ Μεγαπένθους τοῦ Λακύδου, τυράννου τὰ πλεῖστα ἐνασχολεῖται ὁ λόγος.

α. Εἶεν) Ἐπίῤῥημα ἐστὶ τοῦτο ἐνταῦθα ἀποστάσεως· ἀντὶ τοῦ, καλῶς. Εὖ ἔχει πάντα.

— Κλωθοῖ) Κλωθὼ μία τῶν Μοιρῶν. Τρεῖς δὲ αὗται, Κλωθὼ, Λάχεσις, Ἄτροπος· καὶ ἡ μὲν Λάχεσις κατέχει την ἠλακάτην, ἡ δὲ Κλωθὼ στρέφει τὸν ἄτρακτον, νήθουσα τὸν βίον ἑκάστου, ἡ δ' Ἄτροπος κόπτει ταῖς ψαλίσι τὸν μίτον, καὶ ᾧ πέπρωται, τελευτᾷ τὸν βίον. Ἀριστ. δὲ περὶ Κοσμ. ζ΄. Τρεῖς φησὶν εἶναι αἱ Μοῖραι, κατὰ τοὺς χρόνους μεμερισμέναι, νῆμα δὲ ἀτράκτου τὸ μὲν ἐξειργασμένον· τὸ δὲ, μέλλον· τὸ δὲ, περιστρεφόμενον. Τέτακται δὲ, κατὰ μὲν τὸ γεγονὸς μία τῶν Μοιρῶν, ἡ Ἄτροπος, ἐπεὶ τὰ παρεληλυθότα πάντα ἄτρεπτά ἐστι· κατὰ δὲ τὸ μέλλον, Λάχεσις· εἰς πάντα γὰρ ἡ κατὰ φύσιν μένει λῆξις· κατὰ δὲ τὸ ἐνεστὸς, Κλωθὼ, συμπεραίνουσα καὶ κλώθουσα ἑκάστῳ τὰ οἰκεῖα. Ἐνταῦθα δὲ πρὸς μόνην τὴν Κλωθὼ ποιεῖ τὸν Χάρωνα διαλεγόμενον.

— Ἐκκέχυ.) Οἷον τὸ ἐν τῇ ἀντλίᾳ ὕδωρ τοῦ πλοίου ἐξεχύθη. — Παρακέκρ.) Παρακρούειν δὴ τὸν ἱστὰν, σημαίνει τὸ ῥάπτειν τὰ ἐσχισμένα αὐτοῦ· οὕτω γὰρ Ἀττικοὶ λέγουσι τὸ τὴν ὀθόνην τῇ κεραίᾳ συμβαλεῖν. — Τετρόπ.) Τροπόω, ῶ. Ἐσχημάτισται δὲ ἀπὸ τοῦ τροπωτὴρ, ὅπερ σημαίνει τὸν λῶρον, εἰς ὃν τὴν κώπην ἐμβάλλουσιν. — Ὅσον ἐπ' ἐμ.) Τὸ παρ' ἡμῖν· ὅσον ἀπὸ μέρους μου, οὐδὲν κωλ.

2. Ὁ δὲ Ἑρμ.) Οὗτος διακομίζει τὰς ψυχὰς εἰς ᾅδου. — Δέον) Ἀπρόσωπος μετοχὴ ἀπόλυτος· οἷον· Ἐν ᾧ ἔδει αὐτὸν πρὸ πολλοῦ παρεῖναι.

— Ἀμφὶ βουλυτ.) Περὶ ἑσπέραν δηλαδὴ· ὥρα, καθ' ἣν λύουσι τοὺς βοῦς· ὁ γὰρ Ἡσύχιος, βουλυτὸν, φησὶ τὴν δείλην ὥραν, ἐν ᾗ τὸ ἄροτρον λύεται τῶν βοῶν· καὶ Ἡλιόδωρ. βιβλ. Ε΄. Ἦν μὲν, φησὶν, ἤδη τῆς ἡμέρ. ὅτε ἄροτρον βοῦν ἐλεύθεροι γηπόνος.

3. Εὖ οἶδα ὅτι) Ἀντὶ τοῦ καθ' ἡμᾶς εἰμὶ πληροφορημένος. — Καὶ ταῦτα) Ἐννοεῖται, ποιήσει. — Νεκροπομπ.) Ἑρμῆς

καὶ αὐτὸς ἄνω τὸ τῆς Λήθης ὕδωρ πεπωκὼς, ἀναστέψαι πρὸς
4 ἡμᾶς ἐπιλέλησται. Καὶ ἤτοι παλαίει μετὰ τῶν ἐφήβων, ἢ κιθα-
ρίζει, ἢ λόγους τινὰς διεξέρχεται, ἐπιδεικνύμενος τὸν λῆρον
τὸν αὐτοῦ· ἢ τάχα που καὶ κλωπεύει ὁ γεννάδας παρελθών·
μία γὰρ αὐτοῦ καὶ αὕτη τῶν τεχνῶν, ὁ δ᾽ οὖν ἐλευθεριάζει
πρὸς ἡμᾶς, καὶ ταῦτα, ἐξ ἡμισείας ἡμέτερος ὤν.

β΄. Κλωθ. Τί δὲ οἶδας, ὦ Χάρων, εἴ τις ἀσχολία προσέπε-
σεν αὐτῷ, τοῦ Διὸς ἐπὶ πλέον δεηθέντος ἀποχρήσασθαι πρὸς τὰ
2 ἄνω πράγματα, δεσπότης δὲ κἀκεῖνός ἐστιν. — Χάρ. Ἀλλ᾽ οὐχ
ὥςτε, ὦ Κλωθοῖ, πέρα τοῦ μέτρου δεσπόζειν κοινοῦ κτήματος,
3 ἐπεὶ οὐδὲ ἡμεῖς ποτε αὐτὸν, ἀπιέναι δέον, κατεσχήκαμεν. Ἀλλ᾽
ἐγὼ οἶδα τὴν αἰτίαν· παρ᾽ ἡμῖν μὲν γὰρ ἀσφόδελος μόνον, καὶ
χοαὶ, καὶ πόπανα, καὶ ἐναγίσματα· τὰ δ᾽ ἄλλα, ζόφος, καὶ ὀμί-
4 χλη, καὶ σκότος. Ἐν δὲ τῷ οὐρανῷ φαιδρὰ πάντα, καὶ ἥ τε
ἀμβροσία πολλὴ, καὶ τὸ νέκταρ ἄφθονον· ὥςτε μοι ἥδιον παρ᾽ ἐκεί-
νοις βραδύνειν ἔοικε· καὶ παρ᾽ ἡμῶν μὲν ἀνίπταται, καθάπερ ἐκ
δεσμωτηρίου τινὸς ἀποδιδράσκων· ἐπειδὰν δὲ καιρὸς κατιέναι,
σχολῇ καὶ βάδην, μόγις ποτὲ κατέρχεται.

γ΄. Κλωθ. Μηκέτι χαλέπαινε, ὦ Χάρων· πλησίον γὰρ αὐτὸς
οὗτος ὡς ὁρᾷς, πολλούς τινας ἡμῶν ἄγων· μᾶλλον δὲ ὥσπερ τι

---

τοὺς νεκροὺς πέμπων. — Ὥσπερ τις ἀλ.) Ὥσπερ τις ἄλλος ἄνθρωπος δηλ. ὢν, πίνει τὸ τῆς λήθης ὕδωρ, κάτω ἐρχόμενος εἰς τὸν ᾅδην, καὶ ἐπιλανθάνεται πάντων τῶν ἄνω, εἴτ᾽ οὖν τῶν ἐπὶ γῆς, οὕτω καὶ αὐτὸς ὁ Ἑρμῆς δηλ. δοκεῖ πεπωκέναι τὸ τῆς Λήθης ὕδωρ, ἄνω πορευόμενος· καὶ ἐπιλέλησται τῶν κάτω. Περὶ δὲ τοῦ ὕδατος τῆς Λήθης, φασὶν, ὅτι ἔστιν ἐν ᾅδου ποταμὸς, παρ᾽ οὗ πίνουσαι αἱ ψυχαὶ ἐπιλανθάνονται πάντων τῶν ἄνω· ὅθεν καὶ οἱ τὰς μετεμψυχώσεις δοξάζοντες, ἔλεγον μὴ μνημονεύειν τὰς ψυχὰς, ὅσα ἐν ἄλλοις σώμασιν οὖσαι ἔπραξαν· ἐκαλεῖτο δὲ ὁ ποταμὸς οὗτος Ὕδωρ τῆς Λήθης.

4. Παλαίει) Ἓν δὲ καὶ τοῦτο τῶν Ἑρμοῦ ἐπιτηδευμάτων, περὶ ὧν ὅρα Α΄. διάλ. γ΄. — Καὶ αὕτη) Ἡ κλεπτικὴ δηλ. τέχνη. — Ἐλευθ.) Οὐδὲν δηλ. μέλει αὐτῷ περὶ ἡμῶν. — Καὶ ταῦτα) Ἐννοεῖται, ποιεῖ. — Ἐξ ἡμ.) Τὸν γὰρ Ἑρμῆν καὶ τοῖς ἄνω, καὶ τοῖς κάτω συναριθμοῦσι· τοῖς ἄνω μὲν, ὡς ὑπηρετοῦντα τοῖς Θεοῖς, τοῖς κάτω δὲ, ὡς κατάγοντα τὰς ψυχάς.

β΄. Τί δὲ οἶδ.) τὸ παρ᾽ ἡμῖν, τίς ἠξεύρει ἢ τί ἠξεύρεις, ἐὰν οὐκ ἔτυχεν αὐτῷ τις ἀσχ. — Δεηθ.) Ὁ νοῦς· εἰ ὁ Ζεὺς πλεῖονα τοῦ δέοντος χρείαν εἶχεν αὐτοῦ, ὥστε χρήσασθαι αὐτῷ, πρὸς τὰ ἄνω πράγματα. — Δεσπότης δὲ) Ὁ δὲ, αἰτιολογικὸς ἀντὶ τοῦ, γάρ. — Κἀκεῖν.) Καὶ ἐκεῖνος.

2. Ἀλλ᾽ οὐχ ὥς.) Ἀλλ᾽ οὐκ ἔστι δεσπότης, ὥςτε· ὁ δὲ ἀλλά ἐστιν ἀντιθετικὸς· ἀντὶ τοῦ, οὕτως ἔχει, ἀλλ᾽ οὔ. — Δέον) Μετοχὴ ἀπρόσωπος ἀπόλυτος· οἷον· Ὅτε καιρὸς ἔστιν ἀπιέναι, ἡμεῖς οὐδέποτε κατεσχήκαμεν αὐτόν.

3. Ἀλλ᾽ ἐγ.) Ἀντὶ τοῦ παρ᾽ ἡμῖν. Ἔστω· ἐγὼ καταλαμβάνω, τίς ἐστιν ἡ αἰτία. — Παρ᾽ ἡμ.) Ἐπεξήγησις ταῦτα τῆς αἰτίας. Σημείωσαι δὲ ὅτι Ἀσφόδελος εἶδός ἐστι βοτάνης. Χοαὶ δὲ, τὸ ἐπιχεόμενον τοῖς νεκροῖς μελίκρατον· Πόπανα δὲ, πλακοῦς πλατὺς, λεπτὸς καὶ περιφερής. Ἐναγίσματα δὲ, τὰ προσφερόμενα τοῖς νεκροῖς εἰς τιμὴν θύματα. — Καὶ σκότ.) Ἐν τούτοις δὲ πᾶσιν ἐννοεῖται τὸ, ἐστίν.

4. Ἀμβρ.) Ἀμβροσία μὲν τὸ τῶν Θεῶν βρῶμα ἐκάλουν. Νέκταρ δὲ τὸ τῶν αὐτῶν πόμα. — Ὥςτε) Ὥςτε μοι ἔοικεν ὅτι ἐστὶν ἥδιον αὐτῷ βραδύνειν παρ᾽ ἐκείνοις, ἢ πρὸς ἡμᾶς ἐλθεῖν.

— Καιρὸς) Ἐννοεῖται, ἐστί.

γ΄. Αὐτὸς οὖτ.) Ἐπίτασις δείξεως· οἷον. Ἰδοὺ αὐτὸς ὁ ἴδιός ἐστι πλησίον.

ΙΩΑΝΝΙΝΑ 2006

αἰπόλιον, ἀθρόους αὐτοὺς τῇ ῥάβδῳ σοβῶν. Ἀλλὰ τί τοῦτο; δεδε- 2
μένον τινὰ ἐν αὐτοῖς, καὶ ἄλλον γελῶντα ὁρῶ, ἕνα δέ τινα καὶ πήραν
ἐξημμένον, καὶ ξύλον ἐν τῇ χειρὶ ἔχοντα, δριμὺ ἐνορῶντα, καὶ
τοὺς ἄλλους ἐπισπεύδοντα. Οὐχ ὁρᾷς δὲ καὶ τὸν Ἑρμῆν αὐτὸν 3
ἱδρῶτι ῥεόμενον, καὶ τὼ πόδε κεκονιμένον, καὶ πνευστιῶντα, μεστὸν
γοῦν ἄσθματος αὐτὸ τὸ στόμα; Τί ταῦτα, ὦ Ἑρμῆ; τίς ἡ σπουδή;
τεταραγμένῳ γὰρ ἡμῖν ἔοικας. — Ἑρμ. Τί δ' ἄλλο, ὦ Κλωθοῖ, 4
ἢ τουτονὶ τὸν ἀλιτήριον ἀποδράντα μεταδιώκων, ὀλίγου δεῖν λει-
πόνεως ὑμῖν τήμερον ἐγενόμην; — Κλωθ. Τίς δὲ ἐστιν; ἢ τί βουλό-
μενος ἀπεδίδρασκε; — Ἑρμ. Τουτὶ μὲν πρόδηλον, ὅτι ζῆν μᾶλ- 5
λον ἐβούλετο· ἔστι δὲ βασιλεύς τις ἢ τύραννος· ἀπὸ γοῦν τῶν ὀδυρ-
μῶν, καὶ ὧν ἀνακωκύει, πολλῆς τινος εὐδαιμονίας ἐστερῆσθαι
λέγων. — Κλωθ. Εἶθ' ὁ μάταιος ἀπεδίδρασκεν, ὡς ἐπιβιῶναι δυ- 6
νάμενος, ἐπιλελοιπότος ἤδη τοῦ ἐπικεκλωσμένου αὐτῷ νήματος.

δ'. Ἑρμ. Ἀπεδίδρασκε, λέγεις; εἰ γὰρ μὴ ὁ γενναιότατος
οὗτος, ὁ τὸ ξύλον, συνήργησέ μοι, καὶ συλλαβόντες αὐτὸν ἐδήσα-
μεν, κἂν ᾤχετο ἡμᾶς ἀποφυγών. Ἀφ' οὗ γάρ μοι παραδέδωκεν αὐτὸν 2
ἡ Ἄτροπος, παρ' ὅλην τὴν ὁδὸν ἀντέτεινε, καὶ ἀντέσπα· καὶ τὼ
πόδε ἀντερείδων πρὸς τοὔδαφος, οὐ παντελῶς εὐάγωγος ἦν. Ἐνίοτε
δὲ καὶ ἱκέτευε, καὶ κατελιπάρει ἀφεθῆναι πρὸς ὀλίγον ἀξιῶν, καὶ
πολλὰ δώσειν ὑπισχνούμενος. Ἐγὼ δὲ, ὥσπερ εἰκὸς, οὐκ ἀνίειν,
ὁρῶν ἀδυνάτων ἐφιέμενον. Ἐπεὶ δὲ κατ' αὐτὸ ἤδη τὸ στόμιον ἦμεν, 3
ἐμοῦ τοὺς νεκροὺς ὡς ἔθος ἀπαριθμοῦντος τῷ Αἰακῷ, κἀκείνου
λογιζομένου αὐτοὺς πρὸς τὸ παρὰ τῆς σῆς ἀδελφῆς πεμφθὲν αὐτῷ
σύμβολον, λαθὼν, οὐκ οἶδ' ὅπως, ὁ τρισκατάρατος ἀπιὼν ᾤχετο.

---

2. Ἀλλὰ τί) Ἔστιν, ὅπερ ὁρῶ. — Δεδεμ.) Ἤτοι ὁρῶ δεδεμένον τινὰ, καὶ ἄλλον γελῶντα, ἕνα δέ τινα καὶ ἐξημμένον πήραν, καὶ ἔχοντα ξύλον. — Ἐξημ.) Μετ. τοῦ ἐξάπτω.

4. Τουτονὶ) Τὸ ι, κατ' ἐπέκτασιν πρὸς πλείονα δεῖξιν. — Δεῖν) Δέον, καὶ κατὰ συναίρεσιν Δεῖν· καὶ ἔστιν ἀπρόσωπος μετοχὴ ἀπόλυτος. — Λειπόν.) Ὁ νοῦς· μικροῦ ἐδέησα καταλιπεῖν σήμερον τὴν ναῦν ὑμῶν. Ἀνέκφραστος γὰρ ἄλλως ἡ δοτικὴ, περιποιητικὴ οὖσα.

5. Ἐστερ.) Ὁ νοῦς. Ἔστι γὰρ εἰκάσαι αὐτὸν τύραννον ὄντα ἀπὸ γοῦν τῶν ὀδυρμῶν, καὶ ἀφ' ὧν κωκύει, λέγων ἐστερῆσθαι πολλῆς τινος εὐδαιμονίας.

6. Ὡς ἐπιβ.) Τὸ δὲ Ὡς ἐνταῦθα εἰκαστικόν. οἷον· ὡς δῆθεν δυνάμ. — Ἐπικεκλ.) Λέγεται γὰρ ὡς ἐν ἀτράκτῳ στρέφει ἡ Κλωθὼ τὸ νῆμα τῆς ἑκάστου ζωῆς, καὶ συμπληροῦται τῷ νήματι ὁ χρόνος τῆς ζωῆς ἑκάστου· καὶ τοῦτο ἐπὶ τοῦ κατὰ φύσιν· ὅτε δὲ ἄλλοι παρ' ὥραν ἀποθνήσκουσιν ἄνθρωποι, ἡ Ἄτροπος αἰτία, κόπτουσα τὸ νῆμα ταῖς ψαλίσιν, οὗ κοπέντος, κόπτεται καὶ ἡ ζωὴ, δι' οὗ κλώθεται τὸ νῆμα.

δ'. Ὁ τὸ ξύλ.) Ἐννοεῖται, ἔχων, ἢ φέρων. — Κἂν) Βεβαιωτικός πως ὁ κἂν, καὶ δυνητικός· οἷον· πάντως ἂν ᾤχετο· τὸ δ' ᾤχετο ἡμᾶς ἀποφυγὼν, φράσις ἀντὶ τοῦ παρ' ἡμῖν. καὶ ἦν δυνατὸν αὐτῷ ἵνα ἀποφύγῃ ἡμᾶς.

2. Ἄτροπ.) Μοῖρα ἐστὶν αὕτη ἡ τὰ γινόμενα μὴ συγχωροῦσα τρέπεσθαι· διὸ φασὶ, ταύτην παραδιδόναι τοὺς νεκροὺς τῷ Ἑρμῇ.

3. Ἦμεν) Ἐν Ταινάρῳ τῆς Λακωνικῆς ἀκρωτηρίῳ λέγουσιν εἶναι τὸ στόμιον τοῦ ᾅδου, ἀφ' οὗ οἱ νεκροὶ, φασὶν, ἐπὶ τὸν ᾅδην κατέρχονται. — Κἀκείν.) Τοῦ Αἰακοῦ — Ἀδελφ.) Ἀτρόπου· δηλ. — Οὐκ οἶδ.) Οἷον. Ἀγνοῶ, ὅν τινα τρόπον λαθών· — Ὤχετο) Τὸ δ' ἀπιὼν ᾤχετο, φράσις ἐστὶν, ἀντὶ τοῦ, ἔφυγεν.

4 Ἐνέδει οὖν νεκρὸς εἷς τῷ λογισμῷ· καὶ ὁ Αἰακὸς ἀνατείνας τὰς ὀφρῦς, »Μὴ ἐπὶ πάντων, ὦ Ἑρμῆ, φησὶ, χρῶ τῇ κλεπτικῇ, ἅλις σοι αἱ ἐν οὐρανῷ παιδιαί· τὰ νεκρῶν δὲ ἀκριβῆ, καὶ οὐδαμῶς λαθεῖν δυνάμενα· τέτταρας, ὡς ὁρᾷς, πρὸς τοῖς χιλίοις ἔχει τὸ σύμβολον ἐγκεχαραγμένους· σὺ δέ μοι παρ' ἕνα ἥκεις ἄγων·
5 εἰ μὴ τοῦτο φῇς, ὡς παραλελόγισταί σε ἡ Ἄτροπος«. Ἐγὼ δὲ ἐρυθριάσας πρὸς τὸν λόγον, ταχέως ὑπεμνήσθην τῶν κατὰ τὴν ὁδόν. Κἀπειδὴ περιβλέπων οὐδαμοῦ τοῦτον εἶδον, συνεὶς τὴν ἀπόδρασιν,
6 ἐδίωκεν ὡς εἶχον τάχους κατὰ τὴν ἄγουσαν πρὸς τὸ φῶς. Εἵπετο δ' αὐθαίρετός μοι ὁ βέλτιστος οὗτος· καὶ ὥσπερ ἀπὸ ὕσπληγγος θέοντες, καταλαμβάνομεν αὐτὸν ἤδη ἐν Ταινάρῳ· παρὰ τοσοῦτον ἦλθε διαφυγεῖν.

έ. Κλωθ. Ἡμεῖς δὲ, ὦ Χάρων, ὀλιγωρίαν ἤδη τοῦ Ἑρμοῦ
2 κατεγινώσκομεν. — Χάρ. Τί οὖν ἔτι διαμέλλομεν, ὡς οὐχ ἱκανῆς ἡμῖν γεγενημένης διατριβῆς; — Κλωθ. Εὖ λέγεις· ἐμβαινέτωσαν. Ἐγὼ δὲ προχειρισαμένη τὸ βιβλίον, καὶ παρὰ τὴν ἀποβάθραν καθεζομένη, ὡς ἔθος, ἐπιβαίνοντα ἕκαστον αὐτῶν διαγνώσομαι, τίς, καὶ πόθεν, καὶ ὅν τινα τεθνεὼς τὸν τρόπον.
3 Σὺ δὲ παραλαμβάνων στοίβαζε, καὶ συντίθει, ὦ Ἑρμῆ. Σὺ δὲ τὰ νεογνὰ ταυτὶ πρῶτα ἐμβαλοῦ· τί γὰρ ἂν καὶ ἀποκρίναιν-
4 τό μοι; — Ἑρμ. Ἰδοὺ δή σοι, ὦ πορθμεῦ, τὸν ἀριθμὸν οὗτοι οἱ τριακόσιοι μετὰ τῶν ἐκτεθειμένων. — Χάρ. Βαβαὶ τῆς εὐαγρίας!
5 ὀμφακίας ἡμῖν νεκροὺς ἥκεις ἄγων. — Ἑρμ. Βούλει, ὦ Κλωθοῖ, τοὺς ἀκλαύστους ἐπὶ τούτοις ἐμβιβασώμεθα; — Κλωθ. Τοὺς γέροντας λέγεις; οὕτω ποίει. Τί γάρ με δεῖ πράγματα ἔχειν,

---

4. Ἅλις σοι) Ἱκαναὶ δηλ. εἰσὶν αἱ παιδιαὶ, ἃς ἐν οὐρανῷ ποιεῖς. — Παρ' ἕν.) Ἑνὸς ἐλλείποντος. — Φῇς) Τὸ δὲ εἰ μὴ, ἐξαιρετικόν· οἷον· πλὴν ἐὰν τοῦτο λέγῃς.

5. Τῶν κατὰ τὴν ὁδ.) Ὅσα δηλ. συνέβησαν ἐν τῇ ὁδῷ ὑπὸ τοῦ τυράννου πραχθέντα. — Ὡς εἶχον τ.) Ὅσον ἐδυνάμην ταχέως. — Ἄγουσ.) Ὁδὸν δηλ.

6. Εἵπετ.) Εἵπετο δέ μοι αὐθαίρετος. Ἐτέθη δὲ ἡ δοτικὴ μετὰ τὸ αὐθαίρετος, ἵνα μὴ μόνον πρὸς τὸ εἵπετο φέρηται, ἀλλὰ καὶ πρὸς τὸ αὐθαίρετος χαριστικῶς· ὡς εἰ ἔλεγεν. Εἵπετο δέ μοι, χαριζόμενός μοι, μόνος ἀφ' ἑαυτοῦ. — Ὑσπληγ.) Κατὰ μεταφορὰν τῆς ἀπὸ τοῦ ἀγῶνος Ἀφετηρίας. εἷς γὰρ τῶν ἀγώνων ὁ δρόμος· τούτου δὲ, ὁ μὲν τόπος, ἀφ' οὗ ἄρχονται τρέχειν, λέγεται ἀφετηρία, καὶ Ὕσπληγξ, καὶ Βαλβίς· πρὸς ὃν δὲ δεῖ φθάσαντας λαβεῖν τὸ ἆθλον, Νύσσα, ὅθεν καὶ παροιμία. Πρὸς τὴν Νύσσαν κέντει τὸν πῶλον. — Παρὰ τοσ.) Ταυτὸν τῷ, μικροῦ ἐδέησεν, ἴσον τῷ παρ' ἡμῖν· εἰς τὴν τρίχα ἦλθεν, ἵνα φύγῃ.

έ. 2. Γεγεν.) Ἡ σύνταξις κατὰ τὸν ἀπόλυτον λεγόμενον τρόπον τῆς μετοχῆς.

3. Ταυτί) Ταῦτα καὶ κατ' ἐπέκτασιν τοῦ ι, ταυταΐ, καὶ συγκοπῇ ταυτί. — Ἐμβαλ.) Οἷον· Ἀράμενος ἔμβαλε εἰς τὴν ναῦν. Ἀναφέρει δὲ καὶ τοῦτο πρὸς τὸν Ἑρμῆν κατ' ἐπανάληψιν.

4. Ἐκτεθ.) Ὁ νοῦς. Ἰδοὺ οὗτοι οἱ ὄντες τριακόσιοι τὸν ἀριθμὸν μετ' ἐκείνων, ὅσοι ἐκτεθειμένοι ἀπέθανον, παραδίδονταί σοι, ὦ Χάρων. Ἐκτεθειμένοι δὲ λέγονται, οὓς αἱ μητέρες εἰς ναοὺς ἢ ἐν τριόδοις ἐκτιθέασιν.

5. Ἐμβιβ.) Ἐννοεῖται ἵνα· οἷον. Βούλει, ὦ Κλωθοῖ· ἵνα ἐμβιβ. — Τὰ πρὸ Εὐκλ.) Καταλύσαντες Ἀθηναῖοι τοὺς τριάκοντα τυράννους, οὓς Λακεδαιμόνιοι παρ' αὐτοῖς ἔστησαν μετὰ τὸν Πελοποννη-

τὰ πρὸ Εὐκλείδου πῶς νῦν ἐξετάζουσαν; Οἱ ὑπὲρ ἑξήκοντα ὑ- 6
μεῖς πάριτε ἤδη. Τί τοῦτο; οὐκ ἐπακούουσί μου, βεβυσμένοι
τὰ ὦτα ὑπὸ τῶν ἐτῶν· δεήσει τάχα καὶ τούτοις ἀράμενον πα-
ραγαγεῖν. — Ἑρμ. Ἰδοὺ πάλιν οὗτοι δυεῖν δέοντες τετρακό- 7
σιοι, τακεροὶ πάντες, καὶ πέπειροι, καὶ καθ᾿ ὥραν τετρυγη-
μένοι. — Κλωθ. Νὴ Δί᾿, ἐπεὶ ἀσταφίδες γε πάντες ἤδη εἰσί.

ς΄. Τοὺς τραυματίας ἐπὶ τούτοις, ὦ Ἑρμῆ, παράγαγε· καὶ
πρῶτόν μοι εἴπατε, ὅπως ἀποθανόντες ἥκετε; μᾶλλον δὲ αὐτὴ
πρὸς τὰ γεγραμμένα ὑμᾶς ἐπισκέψομαι· πολεμοῦντας ἀποθανεῖν
ἔδει χθὲς ἐν Μηδίᾳ τέτταρας ἐπὶ τοῖς ὀγδοήκοντα, καὶ τὸν
Ὀξυάρτου υἱὸν μετ᾿ αὐτῶν Γωβάρην. — Ἑρμ. Πάρεισι. — 2
Κλωθ. Δι᾿ ἔρωτα αὑτοὺς ἀπέσφαξαν ἑπτά· καὶ ὁ φιλόσοφος 3
Θεαγένης, διὰ τὴν ἑταίραν τὴν Μεγαρόθεν. — Ἑρμ. Οὑτοιΐ
πλησίον. — Κλωθ. Ποῦ δὲ οἱ περὶ τῆς βασιλείας ὑπ᾿ ἀλλή-
λων ἀποθανόντες; Ἑρμ. Παρεστᾶσιν. — Κλωθ. Ὁ δ᾿ ὑπὸ τοῦ
μοιχοῦ καὶ τῆς γυναικὸς φονευθείς; — Ἑρμ. Ἰδού σοι πλησίον.
— Κλωθ. Τοὺς ἐκ δικαστηρίων δῆτα παράγαγε· λέγω δὴ τοὺς 4
ἐκ τυμπάνου, καὶ τοὺς ἀνεσκολοπισμένους. Οἱ δ᾿ ὑπὸ λῃστῶν
ἀποθανόντες ἑκκαίδεκα, ποῦ εἰσιν, ὦ Ἑρμῆ; — Ἑρμ. Πάρει-
σιν οἵδε οἱ τραυματίαι, οὓς ὁρᾷς. Τὰς δὲ γυναῖκας ἅμα βού- 5
λει παραγάγω; — Κλωθ. Μάλιστα, καὶ τοὺς ἀπὸ ναυαγίων
γε· ἅμα γὰρ τεθνᾶσι, καὶ τὸν ὅμοιον τρόπον. Καὶ τοὺς ἀπὸ τοῦ πυ-
ρετοῦ δὲ, καὶ τούτους ἅμα· καὶ τὸν ἰατρὸν Ἀγαθοκλέα μετ᾿
αὐτῶν.

ζ΄. Ποῦ δὲ ὁ φιλόσοφος Κυνίσκος, ὃν ἔδει τῆς Ἑκάτης τὸ
δεῖπνον φαγόντα, καὶ τὰ ἐκ τῶν καθαρσίων ᾠὰ, καὶ πρὸς τού-

---

σιακὸν καλούμενον πόλεμον, Εὐκλείδην κατέστησαν ἄρχοντα, καὶ συνθήκας ἐποιήσαντο, ἵνα τὰ πρὸ Εὐκλείδου ἄκυρα ᾖ. Τοιοῦτον οὖν λέγει Κλωθώ· τῶν πάνυ γερόντων ἀναζητῆσαι τὸν βίον οὐ βούλομαι.

6. Οἱ ὑπὲρ ἑξ.) Ἐννοεῖται· ἔτη γεγονότες.

— Τούτοις) Ἡ δοτικὴ πρὸς τὸ δεήσει.

7. Τετρακ.) Ἤτοι. Τριακόσιοι ἐννενήκοντα ὀκτώ. — Τετρυγ.) Ἀπὸ μεταφορᾶς τῶν σταφυλῶν ταῦτα.

ς΄. Γωβάρ.) Ὀξυάρτης, οὗ Ἀλέξανδρος ὁ Φιλίππου τὴν θυγατέρα Ῥωξάνην ἔγημεν, ἔσχεν υἱὸν Ἰστάνην. Ὁ δὲ Λουκιανὸς παίζων, ὡς ἔτυχε δοκεῖ χρῆσθαι τοῖς ὀνόμασιν· ἢ γοῦν λέγει τινὰς τῶν καθ᾿ αὐτὸν πρὸς ἱστορίαν ἀσήμους.

3. Θεαγέν.) Καὶ ὁ φιλόσοφος οὗτος πεπλασμένος δοκεῖ· ἢ γοῦν τινα τῶν δοκησισόφων ἐν τοῖς καθ᾿ αὐτὸν χρόνοις παίζων εἰσάγει ἐνταῦθα ὡς ἐρῶντα. — Οὑτουΐ) Τὸ ι κατ᾿ ἐπέκτασιν· ἀντὶ οὗτοι.

4. Παράγ.) Φονευθέντας δηλ. — Τυμπάν.) Φονευθέντας. Ἤτοι γὰρ ἔθος ἦν τυμπάνοις πρὸς τὸν τῆς καταδίκης τόπον ἄγειν τοὺς καταδικασθέντας· ἢ γοῦν ὄργανον φονευτήριον ἦν τουτὶ τὸ τύμπανον.

5. Παραγ.) Ἐλλείπει δὲ ὁ Ἵνα. — Ναυαγ.) Ἀποθανόντας παράγαγε δηλ. — Τὸν ὅμοιον τρόπον) Ἐλλείπει ἡ Κατά. — Πυρετ.) Ἀποθανόντας δηλ. παράγαγε.

4. Ἅμα) Παράγαγε δηλ.

ζ΄. Φαγόντ.) Ταῦτα γὰρ ὡς ἔοικεν ἐν τῷ τῆς Ἑκάτης ἐτίθετο δείπνῳ ἐν τριόδοις, ᾠὰ, καὶ σηπίαι ὠμαί. — Ἑκάτ. Χρόν.) Ἐλλείπει ἡ Κατά.

ΙΩΑΝΝΙΝΑ 2006

2 τοις γε, σηπίαν ὠμὴν, ἀποθανεῖν; — Κυν. Πάλαι σοι παρέ-
στηκα, ὦ βελτίστη Κλωθοῖ. Τί δέ με ἀδικήσαντα, τοσοῦτον
εἴασας ἄνω τὸν χρόνον; σχεδὸν γὰρ ὅλον μοι τὸν ἄτρακτον ἐ-
πέκλωσας. Καί τοι πολλάκις ἐπειράθην τὸ νῆμα διακόψας ἐλ-
3 θεῖν· ἀλλ' οὐκ οἶδ' ὅπως ἄῤῥηκτον ἦν. — Κλωθ. Ἔφορόν σε,
καὶ ἰατρὸν εἶναι τῶν ἀνθρωπίνων ἁμαρτημάτων ἀπελίμπανον·
ἀλλ' ἔμβαινε ἀγαθῇ τύχῃ. — Κυνίσ. Μὰ Δί', ἢν μὴ πρότε-
ρόν γε τουτονὶ τὸν δεδεμένον ἐμβιβασώμεθα· δέδια γὰρ μή σε
παραπείσῃ δεόμενος.

η'. Κλωθ. Φέρ' ἴδω τίς ἐστιν. — Ἑρμ. Μεγαπένθης ὁ Λα-
2 κύδου τύραννος. — Κλωθ. Ἐπίβαινε σύ. — Μεγαπ. Μηδαμῶς,
ὦ δέσποινα Κλωθοῖ· ἀλλά με πρὸς ὀλίγον ἔασον ἀνελθεῖν· εἶ-
τά σοι αὐτόμολος ἥξω, καλοῦντος μηδενός. — Τί δ' ἔστιν, οὗ
χάριν ἀφικέσθαι θέλεις; — Μεγαπ. Τὴν οἰκίαν ἐκτελέσαι μοι
πρότερον ἐπίτρεψον· ἡμιτελὴς γὰρ ὁ δόμος καταλέλειπται. —
3 Κλωθ. Ληρεῖς· ἀλλ' ἔμβαινε. — Μεγαπ. Οὐ πολὺν χρόνον,
ὦ Μοῖρα, αἰτῶ· μίαν με ἔασον μεῖναι τήνδε ἡμέραν, ἄχρις ἂν
τι ἐπισκήψω τῇ γυναικὶ περὶ τῶν χρημάτων, ἔνθα τὸν μέγαν εἶ-
χον θησαυρὸν κατορωρυγμένον. — Κλωθ. Ἄραρεν· οὐκ ἂν τύ-
4 χοις. — Μεγαπ. Ἀπολεῖται οὖν ὁ χρυσὸς τοσοῦτος; — Κλωθ.
Οὐκ ἀπολεῖται· θάῤῥει τούτου γε ἕνεκα· Μεγακλῆς γὰρ αὐτὸν ὁ
σὸς ἀνεψιὸς παραλήψεται. — Μεγαπ. Ὢ τῆς ὕβρεως! ὁ ἐχθρὸς,
5 ὃν ὑπὸ ῥᾳθυμίας ἔγωγε οὐ προαπέκτεινα; — Κλωθ. Ἐκεῖνος αὐ-
τός· καὶ ἐπιβιώσεταί σοι ἔτη τετταράκοντα, καὶ μικρόν τι πρὸς,
τὰς παλλακίδας, καὶ τὴν ἐσθῆτα, καὶ τὸν χρυσὸν ὅλον σου πα-
6 ραλαβών. — Μεγαπ. Ἀδικεῖς, ὦ Κλωθοῖ, τἀμὰ τοῖς πολεμιω-
τάτοις διανέμουσα. — Κλωθ. Σὺ γὰρ οὐχὶ Κυδιμάχου αὐτὰ
ὄντα, ὦ γενναιότατε, παρειλήφεις, ἀποκτείνας τε αὐτὸν, καὶ
τὰ παιδία ἔτι ἐμπνέοντι ἐπισφάξας; — Μεγαπ. Ἀλλὰ νῦν ἐμὰ
ἦν. — Κλωθ. Οὐκοῦν ἐξήκει σοι ὁ χρόνος ἤδη τῆς κτήσεως.

---

3. Ἀγαθῇ τύχῃ) Εὐτυχῶς· τὸ παρ' ἡμῖν, Ὥρα καλῇ. — Μὰ Δί') Ἀρνητικόν· ἀντὶ τοῦ Οὐκ ἐμβαίνω τῇ ἀληθείᾳ.

η'. Μεγαπ.) Δοκεῖ δέ τις ἡγεμὼν εἶναι ὁ Μεγαπένθης οὗτος τῶν ἐν Καρίᾳ, ἢ Ἰωνίᾳ· ἢ γοῦν πέπλασται καὶ τούτου τὸ ὄνομα, τῶν καθ' αὐτὸν τινα διασύραι βουλομένῳ Λουκιανῷ, ὡς εἰθισμένον αὐτῷ.

3. Τὴν δε ἡμ.) Μίαν ἡμέραν ταύτην. — Ἄραρ.) Ἔστι δὲ ἀνώμαλον ἐν χρήσει ποιητικῇ ἀπὸ Αἰσχύλου ληφθὲν ἐν Προμηθεῖ. 61 ῥηθὲν οἷον.

Ἄραρεν, ἡ δὲ γ' ὠλένη δυσέκλυτος.

Ἡσύχιος δέ φησιν, ὅτι ἄραρεν σημαίνει τὸ ἡρμόσθη, ἢ παγίως δέδοκται, ἢ κέκριται.

5. Μικρόν τι πρὸς) Ἐλλείπει τούτοις ἐν ἤ. Καὶ μικρόν τι πρὸς τούτοις τοῖς τετταράκοντα.

6. Σὺ γὰρ) Οἷον. Οὐκ ἀδικῶ· καὶ σὺ γὰρ Κυδιμ. — Ἐπισφ.) Αὐτῷ σφάξας δηλ. τὰ παιδία ἐπ' αὐτῷ ἔτι ἐμπνέοντι. — Οὐκοῦν ἐξ) Ὅπερ ἐστὶν ὁ χρόνος καθ' ὃν ἔδει σὲ ταῦτα κεκτῆσθαι, παρῆλθεν.

θ. Μεγαπ. Ἄκουσον, ὦ Κλωθοῖ, ἅ σοι ἰδίᾳ μηδενὸς ἀκούον-
τος εἰπεῖν βούλομαι· ὑμεῖς δὲ ἀπόστητε πρὸς ὀλίγον. Ἄν με
ἀφῇς ἀποδρᾶναι, χίλιά σοι τάλαντα χρυσίου ἐπισήμου δώσειν
ὑπισχνοῦμαι τήμερον. — Κλωθ. Ἔτι γὰρ χρυσὸν, ὦ γελοῖε, καὶ
τάλαντα διὰ μνήμης ἔχεις; — Μεγαπ. Καὶ τοὺς δύο δὲ κρα- 2
τῆρας, εἰ βούλει προσθήσω, οὓς ἔλαβον ἀποκτείνας Κλεόκρι-
τον, ἕλκοντας ἑκάτερον χρυσοῦ ἀπέφθου τάλαντα ἑκατόν. —
Κλωθ. Ἕλκετε αὐτόν· ἔοικε γὰρ οὐκ ἐπεμβήσεσθαι ἡμῖν ἑκών.
— Μεγαπ. Μαρτύρομαι ὑμᾶς, ἀτελὲς μένει τὸ τεῖχος, καὶ τὰ 3
νεώρια. Ἐξετέλεσα γὰρ ἂν αὐτὰ ἐπιβιοὺς πέντε μόνας ἡ-
μέρας. — Κλωθ. Ἀμέλησον· ἄλλος τειχιεῖ. — Μεγαπ. Καὶ
μὴν τοῦτό γε πάντως εὔγνωμον αἰτῶ. — Κλωθ. Τὸ ποῖον; —
Μεγαπ. Ἐς τοσοῦτον ἐπιβιῶναι, μέχρις ἂν ὑπαγάγωμαι Πι- 4
σίδας, καὶ Λυδοῖς ἐπιθῶ τοὺς φόρους, καὶ μνῆμα ἑαυτῷ παμ-
μέγεθες ἀναστήσας, ἐπιγράψω ὁπόσα ἔπραξα μεγάλα καὶ στρα-
τηγικὰ παρὰ τὸν βίον. — Κλωθ. Οὗτος, οὐκ ἔτι μίαν ἡμέ-
ραν αἰτεῖς, ἀλλὰ σχεδὸν εἴκοσιν ἐτῶν διατριβήν.

ι. Μέγαπ. Καὶ μὴν ἐγγυητὰς ὑμῖν ἕτοιμος παρασχέσθαι
τοῦ τάχους, καὶ τῆς ἀπανόδου· εἰ βούλεσθε δὲ, καὶ ἄντανδρον ὑ-
μῖν ἀντ' ἐμαυτοῦ παραδώσω τὸν ἀγαπητόν. — Κλωθ. Ὦ μιαρὲ, ὃν 2
ηὔχου πολλάκις ὑπὲρ γῆς καταλιπεῖν; — Μεγαπ. Πάλαι ταῦτ'
ηὐχόμην· νυνὶ δὲ ὁρῶ τὸ βέλτιον. — Κλωθ. Ἥξει κἀκεῖνός σοι
μετ' ὀλίγον, ὑπὸ τοῦ νεωστὶ βασιλεύοντος ἀνῃρημένος.

ιά. Μεγαπ. Οὐκοῦν ἀλλὰ τοῦτό γε μὴ ἀντείπῃς, ὦ Μοῖρά, μοι.
— Κλωθ. Τὸ ποῖον; — Μεγαπ. Εἰδέναι βούλομαι τὰ μετ' ἐμὲ ὅν
τινα ἕξει τὸν τρόπον. — Κλωθ. Ἄκουε, μᾶλλον γὰρ ἀνιάσῃ
μαθών. Τὴν μὲν γυναῖκά σοι Μίδας ὁ δοῦλος ἕξει, καὶ πάλαι δὲ 2

---

θ′. Μηδενὸς ἀκ.) Ἤτοι κατ' ἔλλειψιν προθέσεώς ἐστιν· οἷον. Ἐπὶ μηδενὸς ἀκούοντος, ἢ γοῦν ἀπόλυτος· ὃ καὶ μᾶλλον. — Ἔτι γὰρ) Παρέλκει ὁ Γὰρ, ἔμφασίν τινα ἔχων κατὰ τὰ παραπληρωματικὰ καλούμενα. — Διὰ μνήμης ἔχ.) Ἀντὶ, μνημονεύεις· τὸ γὰρ ἔχων μετὰ τῆς Διὰ γενικῇ συντατομένης περιφραστικῶς λέγεται ἀντὶ τοῦ ἐκ τοῦ ὀνόματος ῥήματος· οἷον· διὰ μνήμης ἔχω ἀντὶ τοῦ μνημονεύω· διὰ τιμῆς ἔχω, ἀντὶ τιμῶ· καὶ τὰ τοιαῦτα.

2. Χρυσοῦ ἀπ.) Ἄπεφθος χρυσὸς, ὁ πολλάκις ἑψηθεὶς, καὶ καθαρθείς· οὗτος ἐλέγετο ὁ καθαρώτατος χρυσός· ὁ παρ' ἡμῖν λεγόμενος, Αχγάρα.

3. Μαρτύρ.) Βεβαιῶ δηλ. εἰς μαρτυρίαν ὑμᾶς ἐπικαλούμενος.

4. Ἑαυτ.) Ἀντὶ, Ἐμαυτῷ. Σολοικοφανὲς δὲ τοῦτο, καὶ σπανίως ἐστὶν εὑρεῖν· ἐτέθη δὲ, ὡς δοκεῖ, διὰ τὴν μετοχὴν πρόσωπα μὴ διακρίνουσαν.

ι. Τοῦ τάχους) Ἐλλείπει· Ἕνεκα. — Ἄντανδ.) Ἄντανδρος ὁ εἰς ἄλλου ἀνδρὸς τόπον τιθείς· ὁ δὲ τοι σχολιαστὴς κύριον φησὶν ὄνομα εἶναι τὸ, Ἄντανδρον· ὁποτέρως δ' ἂν ληφθῇ, ὁ νοῦς οὐ παραλυμαίνεται. — Παραδ.) Ὁ νοῦς. Δώσω ἀντὶ ἐμαυτοῦ ἄλλον ἄνδρα τὸν ἀγαπτόν μου υἱόν.

2. Ὃν ηὔχου) Ἐκεῖνον δώσεις, ὃν.

ιά. Ὅν τινα) Τινὰ δηλ. κατάστασιν ἕξουσι τὰ μετ' ἐμέ. — Καὶ πάλαι δὲ) Ὁ Δὲ ἀντὶ τοῦ Γάρ.

Ε.Υ.Α. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

αὐτὴν ἐμοίχευεν. — Μεγαπ. Ὁ κατάρατος, ὃν ἐγὼ πειθόμενος
3 αὐτῇ, ἀφῆκα ἐλεύθερον. — Κλωθ. Ἡ θυγάτηρ δέ σοι, ταῖς παλλακίσι τοῦ νυνὶ τυραννοῦντος ἐγκαταλεχθήσεται· εἰκόνες δὲ καὶ ἀνδριάντες, οὓς ἡ πόλις ἀνέστησέ σοι πάλαι, πάντες ἀνατετραμμέ-
4 νοι, γέλωτα παρέξουσι τοῖς θεομένοις. — Μεγαπ. Εἰπέ μοι, τῶν φίλων δὲ οὐδεὶς ἀγανακτεῖ τοῖς δρωμένοις; — Κλωθ. Τίς γὰρ ἦν σοι φίλος; ἢ ἐκ τίνος αἰτίας δικαίας γενόμενος; ἀγνοεῖς ὅτι καὶ πάντες οἱ προσκυνοῦντες καὶ τῶν λεγομένων καὶ πραττομένων ἕκαστα ἐπαινοῦντες, ἢ φόβῳ, ἢ ἐλπίσι, ταῦτ᾽ ἔδρων, τῆς ἀρχῆς
5 ὄντες φίλοι, καὶ πρὸς τὸν καιρὸν ἀποβλέποντες; — Μεγαπ. Καὶ μὴν σπένδοντες ἐν τοῖς συμποσίοις, μεγάλῃ τῇ φωνῇ ἐπηύχοντό μοι πολλὰ καὶ ἀγαθὰ, προαποθανεῖν ἕκαστος αὐτῶν ἕτοιμος, εἰ οἷόν
6 τε εἶναι· καὶ ὅλως, ὅρκος αὐτοῖς ἦν ἐγώ. — Κλωθ. Τοιγαροῦν παρ᾽ ἑνὶ αὐτῶν χθὲς δειπνήσας, ἀπέθανες. Τὸ γὰρ τελευταῖόν σοι πιεῖν ἐνεχθὲν, ἐκεῖνο δευρὶ κατέπεμψέ σε. — Μεγαπ. Τοῦτ᾽ ἄρα πικροῦ τινος ᾐσθόμην· τί βουλόμενος δὲ ταῦτ᾽ ἔπραξε; — Κλωθ. Πολλά με ἀνακρίνεις· ἐμβῆναι δέον.

ιβ΄. Μεγαπ. Ἕν με πνίγει μάλιστα, ὦ Κλωθοῖ, διόπερ ἐπόθουν καὶ πρὸς ὀλίγον ἐς τὸ φῶς ἀνακύψαι πάλιν. — Κλωθ.
2 Τί δὲ τοῦτό ἐστιν; ἔοικε γάρ τι παμμέγεθες εἶναι. — Μεγαπ. Καρίων ὁ ἐμὸς οἰκέτης, ἐπεὶ τάχιστά με ἀποθανόντα εἶδε, περὶ δείλην ὀψίαν ἀνελθὼν ἐς τὸ οἴκημα, ἔνθα ἐκείμην, σχολῆς οὔσης, (οὐδεὶς γὰρ οὐδὲ ἐφύλαττέ με) Γλυκέριον τὴν παλλακίδα μου, (καὶ πάλαι δὲ, οἶμαι, κεκοινωνήκεσαν) παραγαγὼν, ἐπισπασάμενος τὴν θύραν, ἐσπόδει, καθάπερ οὐδενὸς ἔνδον παρόντος· εἶτ᾽ ἐπειδὴ ἅλις εἶχε τῆς ἐπιθυμίας, ἀποβλέψας ἐς ἐμὲ, σὺ μέντοι, φησὶν, ὦ μιαρὸν ἀνθρώπιον, πληγάς μοι πολλάκις οὐδὲν ἀδικοῦντι ἐνέτεινας, καὶ ταῦθ᾽ ἅμα λέγων, παρέτιλλέ τέ με καὶ κατὰ κόῤῥης ἔπαιε· τέλος δὲ, πλατὺ χρεμψάμενος, καὶ καταπτύσας μου, καὶ ἐς τὸν τῶν ἀσεβῶν χῶρον ἄπιθι ἐπειπὼν, ᾤχετο· ἐγὼ δὲ, ἀνεπιμπράμην μὲν, οὐκ εἶχον δὲ ὅμως ὅ,τι καὶ

---

4. Γενόμ.) Ἐννοεῖται, φίλος σοί ἐστιν.
5. Μεγάλ. τῇ φωνῇ) Ἐν μεγ. τῇ φ. — Προαποθανεῖν) Ἀποθανεῖν δηλ. πρότερον, ἢ ἀντὶ ἐμοῦ. — Εἰ οἷόν τε) Ἐννοεῖται ἦν· τὸ δὲ εἶναι κατὰ πλεονασμὸν κεῖται. — Ἦν ἐγ.) Εἰς ἐμὲ δηλ. ἐποίουν τὸν ὅρκον.
6. Δευρί) Δεῦρο· καὶ κατ᾽ ἐπέκτασιν δευροῖ καὶ δευρί. — Ἄρα) Διὰ τοῦτο οὖν.
ιβ΄. 2. Τάχιστ.) Χρῶνται ταύτῃ τῇ φράσει Ἀττικοὶ ἐπὶ τῶν ἀνυπερθέτως καὶ παρευθὺς γινομένων· ἀντὶ τοῦ εἰπεῖν. Ἐπεὶ ἀποθανόντα με εἶδε. τάχιστα ἀνελθὼν καὶ τλ. — Ἐπισπασ.) κλείσας δηλ. καὶ ἀσφαλίσας.
— Ἐνέτ.) Περίφρασις ἀντὶ τοῦ, Ἔδειράς με.
— Ἔπαιε) Ἐῤῥάπιζε· περίφρασις γὰρ τὸ κατὰ κόῤῥης παίειν. — Χρεμψάμενος) Τὸν ἐν τῷ στόματι σίελον συναγαγὼν, καὶ ἄλλον προσθεὶς διὰ τοῦ λάρυγγος. — Ἐνεπιμπράμην) Ἐκαιόμην, ἐ-

δράσαιμι αὐτὸν, αὖος ἤδη καὶ ψυχρὸς ὤν. Καὶ ἡ μιαρὰ δὲ παι-
δίσκη, ἐπεὶ ψόφου προσιόντων τινῶν ᾔσθετο, σιέλῳ χρίσασα τοὺς
ὀφθαλμοὺς, ὡς δακρύσασα ἐπ᾽ ἐμοὶ, κωκύουσα, καὶ τοὔνομα ἐ-
πικαλουμένη, ἀπηλλάττετο· ὧν εἰ λαβοίμην.

ιγ΄. Κλωθ. Παῦσαι ἀπειλῶν· ἀλλ᾽ ἔμβηθι, καιρὸς ἤδη σοι ἀ-
παντᾶν ἐπὶ τὸ δικαστήριον.—Μεγαπ. Καὶ τίς ἀξιώσει κατ᾽ ἀν-
δρὸς τυράννου ψῆφον λαβεῖν;—Κλωθ. Κατὰ τυράννου μὲν οὐδεὶς, 2
κατὰ νεκροῦ δὲ ὁ Ῥαδάμανθυς, ὃν αὐτίκα μάλα ὄψει δίκαιον, καὶ
κατ᾽ ἀξίαν ἐπιτιθέντα ἑκάστῳ τὴν δίκην· τὸ δὲ νῦν ἔχον, μὴ διάτρι-
βε.—Μεγαπ. Κἂν ἰδιώτην με ποίησον, ὦ Μοῖρα, τῶν πενήτων ἕνα, 3
κἂν δοῦλον ἀντὶ τοῦ πάλαι βασιλέως· ἀναβιῶναί με ἔασον μόνον.
—Κλωθ. Ποῦ 'στιν ὁ τὸ ξύλον; καὶ σὺ δὲ, ὦ Ἑρμῆ, σύρετ᾽ αὐ-
τὸν εἴσω τοῦ ποδός· οὐ γὰρ ἂν ἐμβαίη ἑκών.— Ἑρμ. Ἕπου νῦν
δραπέτα· δέχου τοῦτον σὺ πορθμεῦ, καὶ τὸν δεῖνα· καὶ ὅπως ἀσ-
φαλῶς. . . .—Χάρ. Ἀμέλει, πρὸς τὸν ἱστὸν δεθήσεται.—Μεγαπ. 4
Καὶ μὴν ἐν τῇ προεδρίᾳ καθέζεσθαί με δεῖ.—Κλωθ. Ὅτι τί;—
Μεγαπ. Ὅτι νὴ Δία, τύραννος ἦν, καὶ δορυφόρους εἶχον μυρίους.
—Κλωθ. Εἶτ᾽ οὐ δικαίως σε παρέτιλλεν ὁ Καρίων, οὕτωσὶ σκαιὸν
ὄντα; πικρὰν δ᾽ οὖν τὴν τυραννίδα ἕξεις, γευσάμενος τοῦ ξύλου.—
Μεγαπ. Τολμήσει γὰρ Κυνίσκος ἐπανατείνασθαί μοι τὸ βάκτρον; 5
οὐκ ἐγώ σε πρώην, ὅτι ἐλεύθερος ἄγαν καὶ τραχὺς ἦσθα καὶ
ἐπιτιμητικὸς, μικροῦ δεῖν προσεπαττάλευσα;—Κλωθ. Τοιγα-
ροῦν μενεῖς καὶ σὺ τῷ ἱστῷ προσπεπατταλευμένος.

ιδ΄. Μίκυλ. Εἰπέ μοι, ὦ Κλωθοῖ, ἐμοῦ δὲ οὐδεὶς ὑμῖν λόγος;
ἢ διότι πένης εἰμὶ, διὰ τοῦτο καὶ τελευταῖον ἐμβῆναί με δεῖ;—
Κλωθ. Σὺ δὲ τίς εἶ;— Μίκυλ. Ὁ σκυτοτόμος Μίκυλλος.— 2
Κλωθ. Εἶτα ἄχθῃ βραδύνων; οὐχ ὁρᾷς ὁπόσα ὁ τύραννος ὑπισχνεῖ-
ται δώσειν, ἀφεθεὶς πρὸς ὀλίγον; θαῦμα γοῦν ἔχει με, εἰ μὴ ἀγαπητὴ
καὶ σοὶ ἡ διατριβή.—Μίκυλ. Ἄκουσον, ὦ βελτίστη Μοιρῶν· 3
οὐ πάνυ με ἡ τοῦ Κύκλωπος ἐκείνου εὐφραίνει δωρεὰ, τὸ ὑπισχνεῖ-

---

φλεγόμενην ὑπὸ τοῦ θυμοῦ δηλ. — Εἰ λάβ.) Οὐδὲ γὰρ λέγει τί ποιήσει ἐὰν λάβηται αὐτοῦ· φοβούντων δὲ τοῦτο σύνηθες· ὅμοιον τῷ παρ᾽ ἡμῖν· ἂν πιάσω αὐτόν.

ιγ΄. Καιρὸς) Ἐνοεῖται, Ἐστί. — Λαβ.) Καταψηφίσασθαι.

2. Ἐπιτιθ.) Κρίνοντα ἕκαστον κατὰ τὴν ἀξίαν.

— Τὸ δὲ νῦν ἔχον) Κατὰ τὸ νῦν ἔχον, κατὰ τὸ παρόν.

3. Ὁ τὸ ξύλον) Ἔχων δηλ. — Τοῦ ποδός) Ἀπὸ τοῦ ποδός· ἤτοι. Σύρετε αὐτὸν εἴσω τοῦ πλοιαρίου, ἕλκοντες ἀπὸ τοῦ ποδός. — Δεῖνα) Τὸν Μίκυλλον δοκεῖ λέγειν, ἢ ἄλλον τινά. — Καὶ ὅπως) Κατ᾽ ἔλλειψιν προστακτικοῦ τινος· φροντίζετε, σκοπεῖτε· συνήθης δὲ ἡ ἔλλειψις αὕτη πρὸ τοῦ Ὅπως τροπολογικοῦ ὄντος.

4. Τοῦ ξύλ.) Ἀντὶ μετὰ τὸ ῥαβδισθῆναι.

5. Ἐπανατείν.) Ἵνα σηκώσῃ δηλ. τὸ ξύλον κατ᾽ ἐμοῦ. — Ἦσθα) Παρατ. ἦν, ἦς καὶ κατὰ πλεονασμὸν ἦσθα.

ιδ΄. Ἐμοῦ δὲ) Οὐδὲν δὲ περὶ ἐμοῦ φροντίζετε.

2. Πρὸς ὀλ.) Χρόνον δηλ.

3. Κύκλ.) Εὑρὼν Κύκλωψ Ὀδυσσέα ἐν τῷ ἰδίῳ σπηλαίῳ μετὰ τῶν ἑτέρων, καθ᾽ ἕνα κατήσθιε. Ὀδυσσέα δὲ Οὔτινα κα-

Ε.Γ. Δάτης Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

σθαι, ὅτι πύματον ἐγὼ τὸν Οὖτιν κατέδομαι· ἄν τε γοῦν πρῶ-
τον, ἄν τε πύματον, οἱ αὐτοὶ ὀδόντες περιμένουσιν· ἄλλως τε, οὐδ'
ὁμοῖα τἀμὰ τοῖς τῶν πλουσίων· ἐκ διαμέτρου γὰρ ἡμῶν οἱ βίοι,
4 φασίν. Ὁ μὲν γὰρ τύραννος, εὐδαίμων εἶναι δοκῶν παρὰ τὸν
βίον, φοβερὸς ἅπασι, καὶ περίβλεπτος, ἀπολιπὼν χρυσὸν το-
σοῦτον, καὶ ἀργύριον, καὶ ἐσθῆτα, καὶ ἵππους, καὶ δεῖπνα, καὶ
παῖδας ὡραίους, καὶ γυναῖκας εὐμόρφους, εἰκότως ἠνιᾶτο, καὶ
ἀποσπώμενος αὐτῶν ἤχθετο. Οὐ γὰρ οἶδ' ὅπως καθάπερ ἰξῷ τινι
5 προσέχεται τοῖς τοιούτοις ἡ ψυχὴ, καὶ οὐκ ἐθέλει ἀπαλλάττεσθαι
ῥᾳδίως, ἅτε αὐτοῖς πάλαι προστετηκυῖα· μᾶλλον δὲ ὥσπερ ἄῤ-
ῥηκτός τις οὗτος ὁ δεσμός ἐστιν, ᾧ δεδέσθαι ξυμβέβηκεν αὐτούς·
ἀμέλει κἂν ἀπάγῃ τις αὐτοὺς μετὰ βίας, ἀνακωκύουσι καὶ ἱκε-
τεύουσι· καὶ τ' ἄλλα ὄντες θρασεῖς, δειλοὶ πρὸς ταύτην εὑρί-
6 σκονται τὴν ἐπὶ τὸν Ἅδην φέρουσαν ὁδόν. Ἐπιστρέφονται γοῦν
εἰς τοὐπίσω, ὥσπερ οἱ δυσέρωτες, κἂν πόῤῥωθεν ἀποβλέπειν τὰ
ἐν τῷ φωτὶ βούλονται, οἷα ὁ μάταιος ἐκεῖνος ἐποίει· καὶ παρὰ
τὴν ὁδὸν ἀποδιδράσκων, κἀνταῦθά σε καταλιπαρῶν.

ιέ. Ἐγὼ δὲ, ἅτε μηδὲν ἔχων ἐνέχυρον ἐν τῷ βίῳ, οὐκ ἀ-
γρὸν, οὐ συνοικίαν, οὐ χρυσὸν, οὐ σκεῦος, οὐ δόξαν, οὐκ εἰκόνας,
2 εἰκότως εὔζωνος ἦν. Κἀπειδὴ μόνον ἡ Ἄτροπος ἔνευσέ μοι, ἄ-
σμενος ἀποῤῥίψας τὴν σμίλην καὶ τὸ κάττυμα, κρηπῖδα γάρ
τινα ἐν ταῖν χεροῖν εἶχον, ἀναπηδήσας εὐθὺς ἀνυπόδετος, οὐδὲ
τὴν μελαντηρίαν ἀπονιψάμενος εἱπόμην. Μᾶλλον δὲ ἡγούμην ἐς
τὸ πρόσω ὁρῶν· οὐδὲν γάρ με τῶν κατόπιν ἐπέστρεφε, καὶ με-
3 τεκάλει. Καὶ, νὴ Δί', ἤδη καλὰ τὰ παρ' ὑμῖν πάντα ὁρῶ. Τό,
τε γὰρ ἰσοτιμίαν ἅπασιν εἶναι, καὶ μηδένα τοῦ πλησίον διαφέρειν·
4 ὑπερήδιστον ἔμοι γ' οὖν δοκεῖ. Τεκμαίρομαι δὲ μηδ' ἀπαιτεῖ-
σθαι χρέα τοὺς ὀφείλοντας ἐνταῦθα, μηδὲ φόρους ὑποτελεῖν· τὸ
δὲ μέγιστον, μηδὲ ῥιγοῦν τοῦ χειμῶνος, μηδὲ νοσεῖν, μήθ' ὑπὸ
τῶν δυνατωτάτων ῥαπίζεσθαι, εἰρήνη δὲ πᾶσα, καὶ τὰ πράγματα

---

λέσαντα ἑαυτὸν, δόντα αὐτῷ οἶνον πιεῖν, ἔσχατον ὑπισχνεῖτο πάντων φαγεῖν· τοῦτο οὖν φησὶ Μίκυλλος, ὡς οὐδὲν εὐφραίνει αὐτὸν τὸ ὕστερον ὑπισχνεῖσθαι φαγεῖν. — Κατέδ.) Ὁμηρ. Ὀδυσ. Ι. στίχ. 268. — Ἐκ διαμ.) Παροιμία ἐπὶ πάντων τῶν πάνυ διαφερόντων· διάμετρος δὲ ἡ διὰ τοῦ κέντρου διερχομένη τοῦ κύκλου γραμμὴ, καὶ ἐπὶ τὴν περιφέρειαν ἀποπερατουμένη. — Φασὶν) Τὸ δὲ φασὶν ἀορίστως λαμβάνεται.

4. Ἀποσπώμενος) Σπώμενος δηλ. καὶ χωριζόμενος ἀπ' αὐτῶν.

5. Ἰξῷ) Ἀπαλείφοντες ῥάβδους ἐπὶ τῶν δένδρων τιθέασιν οἱ ὀρνιθοθῆραι· ἐφ' ὧν τὰ πτηνὰ ἐπικαθήμενα, κολλῶνται τούς τε πόδας καὶ τὰς πτέρυγας ἀναπτῆναι προθυμούμενα. Οὕτως οὖν καὶ ἡ ψυχὴ κολλᾶται ἐπὶ τῶν ἐν τῷ βίῳ.

— Τ' ἄλλα) Κατὰ τὰ ἄλλα.

6. Τοὐπίσ.) Εἰς τὸ ὀπίσω. — Δυσέρ.) Οἱ πάνυ ἐρῶντες καὶ δυσχερῶς ἀπὸ τῶν ἐρωμένων χωριζόμενοι.

ιέ. Εὔζ.) Ἐλαφρὸς, καὶ εὐκίνητος. — Κἀπειδ.) Καὶ Ἐπειδή. — Ἄτρ.) Μία τῶν Μοιρῶν.

4. Τοῦ χειμῶνος) Διὰ τοῦ χειμῶνος.

Ε.Υ.ζ.τ.Π.Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ἐς τοὔμπαλιν ἀνεστραμμένα· ἡμεῖς μὲν γὰρ οἱ πένητες, γελῶ- 5
μεν, ἀνιῶνται δὲ καὶ οἰμώζουσιν οἱ πλούσιοι.
ις΄. Κλωθ. Πάλαι οὖν σε, ὦ Μίκυλλε, γελῶντα ἑώρων· τί δ᾽
ἦν ὅν σε μάλιστα ἐκίνει γελᾷν; — Μίκυλ. Ἄκουσον, ὦ τιμιω- 2
τάτη μοι θεῶν· παροικῶν ἄνω τυράννῳ, πάνυ ἀκριβῶς ἑώρων τὰ
γιγνόμενα ὑπ᾽ αὐτοῦ, καί μοι ἐδόκει τότε ἰσόθεός τις εἶναι. Τῆς τε 3
γὰρ πορφύρας τὸ ἄνθος ὁρῶν, ἐμακάριζον καὶ τῶν ἀκολουθούν-
των τὸ πλῆθος, καὶ τὸν χρυσὸν, καὶ τὰ λιθοκόλλητα ἐκπώματα, καὶ
τὰς κλίνας τὰς ἀργυρόποδας· ἔτι δὲ καὶ ἡ κνίσσα ἡ τῶν σκευα-
ζομένων ἐς τὸ δεῖπνον, ἀπέκναιέ με· ὥστε ὑπεράνθρωπός τις ἀνὴρ
καὶ τρισόλβιος κατεφαίνετό μοι, καὶ μονονουχὶ καλλίων, καὶ ὑ-
ψηλότερος ὅλῳ πήχει βασιλικῷ· ἐπαιρόμενος τῇ τύχῃ, καὶ σε-
μνῶς προβαίνων, καὶ ἑαυτὸν ἐξυπτιάζων, καὶ τοὺς ἐντυγχάνον-
τας ἐκπλήττων. Ἐπεὶ δὲ ἀπέθανεν, αὐτός τε παγγέλοιος ὤφθη 4
μοι ἀποδυσάμενος τὴν τρυφήν· κἀμαυτοῦ ἔτι μᾶλλον κατεγέλων,
οἷον κάθαρμα ἐτεθήπειν, ἀπὸ τῆς κνίσσης τεκμαιρόμενος αὐτοῦ
τὴν εὐδαιμονίαν, καὶ μακαρίζων ἐπὶ τῷ αἵματι τῶν ἐν τῇ Λα-
κωνικῇ θαλάττῃ κοχλίδων.
ιζ΄. Οὐ μόνον δὲ τοῦτον, ἀλλὰ καὶ τὸν δανειστὴν Γνίφωνα
ἰδὼν στένοντα, καὶ μεταγινώσκοντα, ὅτι μὴ ἀπέλαυσε τῶν χρη-
μάτων, ἀλλ᾽ ἄγευστος αὐτῶν ἀπέθανε, τῷ ἀσώτῳ Ῥοδοχάρει τὴν
οὐσίαν ἀπολιπὼν, (οὗτος γὰρ ἄγχιστα ἦν αὐτῷ γένους, καὶ πρῶ-
τος ἐπὶ τὸν κλῆρον ἐκαλεῖτο κατὰ τὸν νόμον·) οὐκ εἶχον ὅπως κα-
ταπαύσω τὸν γέλωτα, καὶ μάλιστα μεμνημένος, ὡς ὠχρὸς ἀεὶ,
καὶ αὐχμηρὸς ἦν, φροντίδος τὸ μέτωπον ἀνάπλεως, καὶ μόνοις τοῖς
δακτύλοις πλουτῶν, οἷς τάλαντα καὶ μυριάδας ἐλογίζετο, κατὰ
μικρὸν συλλέγων τὰ μετ᾽ ὀλίγον ἐκχυθησόμενα πρὸς τοῦ μακαρίου
Ῥοδοχάρους. Ἀλλὰ τί οὐκ ἀπερχόμεθα ἤδη; καὶ μεταξὺ γὰρ 2
πλέοντες τὰ λοιπὰ γελασόμεθα οἰμώζοντας αὐτοὺς ὁρῶντες. —
Κλωθ. Ἔμβαινε, ἵνα καὶ ἀνιμήσηται ὁ πορθμεὺς τὸ ἀγκύριον. 3

---

ις΄. 3. Ἀπέκναιέ με) Νωθρότερον εἰς τὸ ζῆν με ἐποίει. — Πήχει βασιλικῷ) Ἀντὶ τοῦ Μέτρῳ μεγάλῳ· ὑπερέχει γὰρ ὁ βασιλικὸς πῆχυς τοῦ ἰδιωτικοῦ καὶ κοινοῦ δακτύλους τρεῖς. — Τῇ τύχῃ) Αἰρόμενος ἐπὶ τῇ τύχῃ. — Ἐξυπτιάζων) Τείνων τὸν τράχηλον καὶ τὸ στῆθος προβαλλόμενος ἅμα, καὶ τοὺς ἰδίους ὤμους περισκοπούμενος βαδίζων· ὅ ἐστι γαυριῶν, καὶ ὑπερήφανος.

4. Κἀμαυτοῦ) Καὶ ἐμαυτοῦ. — Ἐτεθήπειν) Τέθηπα Μέσ. Παρακ. — Κοχλίδων) Ἐκ τῶν κοχλίων ἡ πορφύρα· εὕρηται δὲ παρὰ κυνὸς κοχλίας μασσῶντος, καὶ τὸ γένειον πορφυροῦν ποιήσαντος· δοκεῖ δὲ ἡ ἐν τῇ Λακωνικῇ κόχλιος εὐδοκιμωτέρα τῶν ἄλλων εἰς τὸ Πορφυροῦν χρῶμα.

ιζ΄. Γνίφ.) Ὄνομα, ἤτοι ὡς ἔτυχε ληφθὲν εἰς ἐμπαιγμόν τινος, ἢ γνωρίμου τινὸς τῷ Λουκιανῷ. — Ἄγχιστα) Πλέον πάντων πλησίον ἦν τῷ γένει.

— Πλουτῶν) Λογιζόμενος δηλ. τοῖς δακτύλοις, τὰ δὲ χρήματα αὐτῷ ἦσαν πάντα ἐπὶ τόκῳ δεδομένα. — Ἐκχυθησόμενα) Ἐκχέω.

Ε.Γ.Α της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ιή. Χάρ. Οὗτος, ποῖ φέρῃ; πλῆρες ἤδη τὸ σκάφος· αὐτοῦ πε-
2 ρίμενε· ἐς αὔριον ἕωθέν σε διαπορθμεύσομεν. — Μίκυλ. Ἀδικεῖς,
ὦ Χάρων, ἕωλον ἤδη νεκρὸν ἀπολιμπάνων· ἀμέλει γράψομαί σε
3 παρανόμων ἐπὶ τοῦ Ῥαδαμάνθυος. Οἴμοι τῶν κακῶν! ἤδη πλέ-
ουσιν· ἐγὼ δὲ μόνος ἐνταῦθα περιλελείψομαι. Καί τοι, τί οὐ δια-
νήχομαι κατ' αὐτούς; οὐ γὰρ δέδια μὴ ἀπαγορεύσας ἀποπνιγῶ,
ἤδη τεθνεώς· ἄλλως τε οὐδὲ τὸν ὀβολὸν ἔχων τὰ πορθμία κατα-
4 βαλεῖν. — Κλωθ. Τί τοῦτο; περίμεινον, ὦ Μίκυλλε· οὐ θέμις
οὕτω σε διελθεῖν. — Μίκυλ. Καὶ μὴν ἴσως ὑμῶν καὶ προκαταχ-
θήσομαι. — Κλωθ. Μηδαμῶς, ἀλλὰ προσελάσαντες, ἀναλά-
βωμεν αὐτόν, καὶ σύ, ὦ Ἑρμῆ, συνανάσπασον.

ιθ'. Χάρ. Ποῦ νῦν καθεδεῖται; μεστὰ γὰρ πάντα, ὡς ὁρᾷς.
— Ἑρμ. Ἐπὶ τοὺς ὤμους, εἰ δοκεῖ, τοῦ τυράννου. — Κλωθ.
2 Καλῶς ὁ Ἑρμῆς ἐνενόησε. — Χάρ. Ἀνάβαινε οὖν, καὶ τὸν τένοντα
3 τοῦ ἀλητηρίου καταπάτει· ἡμεῖς δ' εὐπλοῶμεν. — Κυνίσ. Ὦ Χά-
ρων, καλῶς ἔχει σοι τὰς ἀληθείας ἐντεῦθεν εἰπεῖν. Ἐγὼ τὸν
ὀβολὸν μὲν οὐκ ἂν ἔχοιμι δοῦναί σοι, καταπλεύσας· πλέον γάρ
οὐδέν ἐστι τῆς πήρας, ἣν ὁρᾷς, καὶ τουτουῒ τοῦ ξύλου· τἄλλα δὲ,
ἂν ἀντλεῖν ἐθέλῃς, ἕτοιμος, καὶ πρόσκωπος εἶναι· μέμψῃ δὲ οὐδὲν,
ἣν εὐῆρες καὶ καρτερόν μοι ἐρετμὸν δῷς μόνον. — Χάρ. Ἔρεττε·
4 καὶ τουτὶ γὰρ ἱκανὸν παρὰ σοῦ λαβεῖν. — Κυνίσκ. Ἦ καὶ ὑπο-
κελεῦσαι δεήσει. — Χάρ. Νὴ Δί', ἤν περ εἰδῇς κέλευσμά τι τῶν
ναυτικῶν. — Κυνίσκ. Οἶδα, καὶ πολλά, ὦ Χάρων. [τῶν ναυτι-
κῶν.] Ἀλλ' ὁρᾷς, ἀντεπηχοῦσιν οὗτοι δακρύοντες· ὥστε ἡμῖν
τὸ ᾆσμα ἐπιταραχθήσεται.

κ'. Πλούσ. Οἴμοι τῶν κτημάτων. — Ἄλλος. Οἴμοι τῶν ἀ-
γρῶν. — Ἄλλ. Ὀττοτοῖ, τὴν οἰκίαν οἵαν ἀπέλιπον. — Ἄλλ.
2 Ὅσα τάλαντα ὁ κληρονόμος σπαθήσει λαβών. — Ἄλλ. Αἲ! αἲ!
τῶν νεογνῶν μου παιδίων. — Ἄλλ. Τίς ἄρα τὰς ἀμπέλους τρυ-
3 γήσει, ἃς πέρυσιν ἐφυτευσάμην; — Ἑρμ. Μίκυλλε, σὺ δ' οὐδὲν

---

ιή. Οὗτος) Λαμβάνεται ἀντὶ τοῦ, ὦ σύ, ὦ φίλε. — Ποῖ φέρῃ) Ποῦ δηλ. ὑπάγεις.

2. Ἕωλον) Χθεσινόν, δηλ. — Ἀμέλ.) Πάντως βέβαια. — Παραν.) Κατηγορήσω σε ἕνα τῶν παρανόμων· συνήθης δὲ ἡ φράσις μετὰ τοῦ, γράφομαι, καὶ Ἀττική.

3. Κατ' αὐτ.) Ἀντὶ πρὸς αὐτούς· — Καταβαλεῖν) Ἵνα πληρώσω δηλ. τὸν ναῦλον

4. Προσελάσαντες) Πλησίον αὐτοῦ γενώμεθα δηλ. τῷ πλοιαρίῳ.

ιθ'. Καθεδ.) Ὡς ἀναβιβασθέντος φησὶ Χάρων· οἷον. Καὶ νῦν δὴ ποῦ καθεδεῖται, ἀνελθὼν ἐπὶ τοῦ πλοίου.

2. Εὐπλοῶμ.) Τοῦτο ἐστὶ· τὸ παρ' ἡμῖν· κατευόδιον ἔστω ἡμῖν. Ἐν ὥραις καλαῖς.

3. Καλῶς ἔχ.) Καλόν ἐστι ἵν' ἐνταῦθα εἴπωμέν σοι τὴν ἀλήθειαν — Τἄλλα) Κατὰ τὰ ἄλλα.

4. Δεήσ.) Εἰπέ μοι φησὶν εἰ δεήσει καὶ ᾆσαι ἐρέττων. Ναυτικὴ δὲ ᾠδὴ τὸ Ὑποκέλευσμα· διότι ἑνὸς καταρχομένου ἄλλοι ὑπήκουον τὸ ᾀδόμενον.

κ'. Τῶν κτημ.) Ἡ γενικὴ κατ' ἔλλειψιν τοῦ Ἕνεκα λέγεται. 2. Ἐφυτ.) Τοῦτο δὲ σημαίνει· δι' ἐμῶν ἀναλωμάτων ἐποίησα φυτευθῆναι.

οἰμώζεις; καὶ μὴν οὐ θέμις ἀδακρυτὶ διαπλεῦσαί τινα. — Μίκυλ.
Ἄπαγε. Οὐδέν ἐστιν ἐφ᾽ ὅτῳ ἂν οἰμώξωμαι εὐπλοῶν. — Ἑρμ.
Ὅμως κἂν μικρόν τι, πρὸς τὸ ἔθος ἐπιστέναξον. — Μίκυλ. Οἰ-
μώξομαι τοίνυν, ἐπειδή σοι, ὦ Ἑρμῆ, δοκεῖ. Οἴμοι τῶν καττυ- 4
μάτων· οἴμοι τῶν κρηπίδων τῶν παλαιῶν· ὀττοτοῖ, τῶν σαθρῶν
ὑποδημάτων· οὐκ ἔτι ὁ κακοδαίμων ἕωθεν ἐς ἑσπέραν ἄσιτος δια-
μενῶ, οὐδὲ τοῦ χειμῶνος ἀνυπόδητός τε, καὶ ἡμίγυμνος περινο-
στήσω, τοὺς ὀδόντας ὑπὸ τοῦ κρύους συγκροτῶν. Τίς ἄρα μου
τὴν σμίλην ἕξει, καὶ τὸ κεντητήριον; Ἱκανῶς τεθρήνηται· σχεδὸν
δὲ ἤδη καὶ καταπεπλεύκαμεν.

κά. Χάρ. Ἄγε δὴ τὰ πορθμεῖα πρῶτον ἡμῖν ἀπόδοτε· καὶ
σὺ δὲ, δός· παρὰ πάντων ἤδη ἔχω· δὸς καὶ σὺ τὸν ὀβολὸν, ὦ
Μίκυλλε. — Μίκ. Παίζεις, ὦ Χάρων, ἢ καθ᾽ ὕδατός φασιν, 2
ἤδη γράφεις, παρὰ Μικύλλου ἤδη τινὰ ὀβολὸν προσδοκῶν· ἀρ-
χὴν δὲ, οὔτε οἶδα εἰ τετράγωνόν ἐστιν ὀβολὸς, ἢ στρογγύλον.
— Χάρ. Ὢ καλῆς ναυτιλίας καὶ ἐπικερδοῦς τήμερον· ἀποβαί- 3
νετε δ᾽ ὅμως· ἐγὼ δὲ ἵππους, καὶ βοῦς, καὶ κύνας, καὶ τὰ λοιπὰ
ζῶα μέτειμι· διαπλεῦσαι γὰρ κἀκεῖνα δεῖ. — Κλωθ. Ἄπαγε 4
αὐτοὺς, ὦ Ἑρμῆ, παραλαβών· ἐγὼ δὲ αὐτὴ, ἐς τὸ ἀντιπέρας
ἀποπλευσοῦμαι, Ἰνδοπάτην, καὶ Ἡραμίθρην τοὺς Σῆρας διάξου-
σα· τεθνᾶσι γὰρ ἤδη πρὸς ἀλλήλων, περὶ γῆς ὅρων μαχόμε-
νοι. — Ἑρμ. Προΐωμεν, ὦ οὗτοι· μᾶλλον δὲ πάντες ἑξῆς ἕπεσθέ μοι.

κβ΄. Μίκυλ. Ἡράκλεις, τοῦ ζόφου· ποῦ νῦν ὁ καλὸς Μέγιλλος;
ἢ τῷ διαγνῷ τις ἐνταῦθα εἰ καλλίων Φρύνης Σιμμίχη; πάντα
γὰρ ἴσα, καὶ ὁμόχροα, καὶ οὐδὲν οὔτε καλὸν, οὔτε κάλλιον·
ἀλλ᾽ ἤδη καὶ τὸ τριβώνιον, τὸ πρότερον τέως ἄμορφον εἶναί μοι
δοκοῦν, ἰσότιμον γίγνεται τῇ πορφυρίδι τοῦ βασιλέως. Ἀφανῆ 2
γὰρ ἄμφω, καὶ ὑπὸ τῷ αὐτῷ σκότῳ καταδεδυκότα. Κυνίσκε, σὺ
δὲ ποῦ ποτε ἄρα ὢν τυγχάνεις; — Κυνίσ. Ἐνταῦθα λέγω σοι,
Μίκυλλε· ἀλλ᾽ ἅμα εἰ δοκεῖ, βαδίζωμεν. — Μίκυλ. Εὖ λέγεις· 3

---

— Χειμῶνος) Διὰ τοῦ χειμῶνος.

κά. 2. Καθ᾽ ὕδ.) Παροιμία ἐπὶ τῶν ἀδυνάτοις ἐπιχειρούντων πράγμασι λεγομένη. — Ἀρχ.) Κατ᾽ ἀρχήν· ὅ ἐστι παντάπασιν.

3. Μέτειμι) Πορεύομαι δηλ. ἵνα κομίσω· τὸ αὐτὸ δὲ σημαίνει καὶ τὸ μετέρχομαι.

4. Τοὺς Σῆρ.) Τὰ μὲν ὀνόματα πεπλασμένα δοκεῖ. Σῆρας δὲ λέγει· Ἔθνος, ἐν ᾧ γίνονται τὰ Σηρικὰ ἱμάτια. Ἡ δὲ τοῦ κειμένου ἀκολουθία· Σῆρας νοεῖν τοὺς σκώληκας τοὺς ποιοῦντας τὴν μετάξην δίδωσι. Διαπαίζει γὰρ ἐνταῦθα τοὺς ἀθανάτους εἶναι τὰς τῶν ἀλόγων ψυχὰς λέγοντας.

κβ΄. Μέγιλ.) Κορίνθιος ἦν οὗτος ὑπερφέρων κάλλει τοὺς κατ᾽ αὐτόν. — Ἢ τῷ) Ἀντὶ τίνι· τὸ γὰρ ἄρθρον καὶ ἀντὶ ἐρωτηματικοῦ. — Σιμμίχ.) Ὀνόματα γυναικῶν ἑταίρων. — Τοῦ βασιλ.) Ὁ τριβώνιον δηλ. φορῶν ἰσότιμος ἐστὶ τοῦ βασιλέως πορφυρίδι ἐνδεδυμένου.

2. Ὢν τυγχ.) Περιφραστικῶς ἀντὶ εἶ. — Βαδίζ.) Αὐθυποτάκτως. — Ἐμβαλ.) Εἰς τὴν ἀριστεράν μου χεῖρα περίπλεξόν σου τὴν δεξιάν. Οὕτω γὰρ πορεύεσθαι βούλονται, ὡς ἔθος νῦν τοὺς ἐν τῇ Εὐρώπῃ περιδιαβάζειν, τοῦ ἑνὸς ἐμβαλόντος τὴν χεῖρα εἰς τὴν τοῦ ἑτέρου. — Ἐτελ.) Εἰπέ

ἔμβαλέ μοι τὴν δεξιάν· εἰπέ μοι; ἐτελέσθης γάρ, ὦ Κυνίσκε, [τὰ Ἐλευσίνια,] οὐχ ὅμοια τοῖς ἐκεῖ τὰ ἐνταῦθά σοι δοκεῖ; — Κυνίσ.
4 Εὖ λέγεις· ἰδοὺ οὖν προσέρχεται δᾳδουχοῦσά τις, φοβερόν τι καὶ ἀπειλητικὸν προσβλέπουσα· ἢ ἄρά που Ἐριννύς ἐστιν; — Μίκυλ. Ἔοικεν ἀπό γε τοῦ σχήματος.

κγ΄. Ἑρμ. Παράλαμβανε τούτους, ὦ Τισιφόνη, τέτταρας ἐπὶ τοῖς χιλίοις. — Τισιφ. Καὶ μὴν πάλαι γε ὁ Ῥαδάμανθυς οὗτος
2 ὑμᾶς περιμένει. — Ῥαδάμ. Πρόσαγε αὐτούς, ὦ Ἐριννύ. Σὺ δέ, ὦ Ἑρμῆ, κήρυττε, καὶ προσκάλει. — Κυνίσ. Ὦ Ῥαδάμανθυ,
3 πρὸς τοῦ πατρὸς ἐμὲ πρῶτον ἐπίσκεψαι παραγαγών. — Ῥαδάμ. Τίνος ἕνεκα; — Κυνίσκ. Πάντως βούλομαι κατηγορῆσαί τινος, ἃ συνεπίσταμαι πονηρὰ δράσαντι αὐτῷ παρὰ τὸν βίον· οὐκ ἂν οὖν ἀξιόπιστος εἴην λέγων, μὴ οὐχὶ πρότερον αὐτὸς φανεὶς οἷός εἰμι, καὶ οἷόν τινα ἐβίωσα τὸν τρόπον. — Ῥαδάμ. Τίς δὲ σύ; —
4 Κυνίσ. Κυνίσκος, ὦ ἄριστε, τὴν γνώμην φιλόσοφος. — Ῥαδάμ. Δεῦρ᾽ ἐλθέ, καὶ πρῶτος ἐς τὴν δίκην κατάστηθι. Σὺ δὲ προσκάλει τοὺς κατηγόρους.

κδ΄. Ἑρμ. Εἴ τις Κυνίσκου τουτουῒ κατηγορεῖ, δεῦρο προσίτω.
2 — Ῥαδάμ. Οὐδεὶς προσέρχεται· ἀλλ᾽ οὐχ ἱκανὸν τοῦτο, ὦ Κυνίσκε· ἀπόδυθι δὲ ὅπως ἐπισκοπήσω σε ἀπὸ τῶν στιγμάτων. —
3 Κυνίσ. Ποῦ γὰρ ἐγὼ στιγματίας ἐγενόμην; — Ῥαδάμ. Ὁπόσα ἄν τις ὑμῶν πονηρὰ ἐργάσηται παρὰ τὸν βίον, καθ᾽ ἕκαστον αὐτῶν ἀφανῆ στίγματα ἐπὶ τῆς ψυχῆς περιφέρει. — Κυνίσ. Ἰδού σοι γυμνὸς παρέστηκα· ὥστε ἀναζήτει ταῦτα, ἅπερ σὺ φῂς τὰ
4 στίγματα. — Ῥαδάμ. Καθαρὸς ὡς ἐπίπαν οὑτοσί, πλὴν τούτων

---

μοι, οὐχ ὅμοια τοῖς ἐν Ἐλευσῖνι τὰ ἐνταῦθα δοκεῖ σοι· ἐρωτῶ δέ σε ἐπειδὴ γινώσκω ὅτι ἐτελέσθης τὰ Ἐλευσίνια. Ἦν δὲ ἑορτὴ παρ᾽ Ἀθηναίοις Δήμητρι καὶ Περσεφόνῃ ἐπιτελουμένη, κατὰ μῆνα Βοηδρομιῶνα τῷ καθ᾽ ἡμᾶς Σεπτεμβρίῳ ἀντεξεταζόμενόν πως, ἐν ἡμέραις ἐννέα· ὧν ἐν ταῖς πρώταις τέσσαρσι θύοντες διετέλουν· τὴν δὲ νύκτα τῆς ἐσχάτης, κανοῦν ἐπὶ ἁμάξης βουσὶν ἑλκομένης, γυναικῶν ἑπομένων μετὰ κανῶν, ἔμπλεων τῶν πρὸς τελετήν, ἔφερον· ἡ δὲ πέμπτη ἦν λαμπαδοῦχος· ἀνδρῶν καὶ γυναικῶν ἐν νυκτὶ λαμπαδοφορούντων· ἡ δὲ ἕκτη, ἐκπόρευσις ἀπὸ τοῦ Κεραμικοῦ διὰ τῆς πόλεως μέχρις Ἐλευσῖνος, περὶ τὰς τρεῖς μυριάδας ἑπομένων, καὶ φερόντων τοῦ Διονύσου τὸ ἄγαλμα, ὑμνούντων τε καὶ ἐν ῥυθμῷ χορευόντων· τῇ δ᾽ ἑβδόμῃ γυμνικοὶ ἀγῶνες προὐτίθεντο· ταῖς δὲ λοιπαῖς δυσὶ τὰ καλούμενα μυστήρια ἤγοντο· περὶ ὧν οὐδὲν σαφὲς ἴσμεν. Ταῦτα δὴ τὰ μυστήρια ἐν Ἐλευσῖνι τελούμενα διασύρει ἐνταῦθα Λουκιανός.

4. Ἐριννύς) Τρεῖς ἦσαν αἱ Ἐριννύες, Τισιφόνη, Μέγαιρα, Ἀληκτώ· λαμπαδοφοροῦσαι· ὧν αἱ τρίχες δράκοντες ἦσαν.

κγ΄. Τισιφ.) Μία τῶν Ἐριννύων.

2. Πρὸς τοῦ πατρ.) Ὁρκίζω σε κατὰ τοῦ πατρὸς Διός· ὁ γὰρ Ῥαδάμανθυς Διὸς καὶ Εὐρώπης υἱός.

4. Τὴν γν.) Κατὰ τὴν γνώμην ἀπὸ προαιρέσεως δηλαδὴ φιλόσοφος. — Σὺ δὲ) ὦ Ἑρμῆ.

κδ΄. 3. Στιγματ.) Στιγματίας καλοῦσι τοὺς οἰκέτας τοὺς στιζομένους ὡς ἀχρησίμους· εἰς τοῦτο οὖν ἀφορῶν ὁ Κυνίσκος οὐκ ἠνέσχετο στιγματίας καλεῖσθαι.

4. Ὡς ἐπίπ.) Καθόλου.

τριῶν ἢ τεττάρων ἀμαυρῶν πάνυ, καὶ ἀσαφῶν στιγμάτων· καί
τοι, τί τοῦτο; ἴχνη μὲν, καὶ σημεῖα τῶν ἐγκαυμάτων, οὐκ οἶδα δὲ
ὅπως ἐξαλήλειπται, μᾶλλον δὲ ἐκκέκοπται· πῶς ταῦτα, ὦ Κυνίσκε,
ἢ πῶς καθαρὸς ἐξ ὑπαρχῆς ἀναπέφηνας; — **Κυνίσ.** Ἐγώ σοι 5
φράσω· πάλαι πονηρὸς δι' ἀπαιδευσίαν γενόμενος, καὶ πολλὰ διὰ
τοῦτο ἐμπολήσας στίγματα, ἐπειδὴ τάχιστα φιλοσοφεῖν ἠρξάμην,
κατ' ὀλίγον ἁπάσας τὰς κηλῖδας ἐκ τῆς ψυχῆς ἀπελουσάμην.
— **Ῥαδάμ.** Ἀγαθῷ γε, οὗτος, καὶ ὀνησιμωτάτῳ χρησάμενος 6
τῷ φαρμάκῳ· ἀλλ' ἄπιθι ἐς τὰς Μακάρων νήσους, τοῖς ἀρίστοις
συνεσόμενος, κατηγορήσας γε πρότερον, οὗ φῄς τυράννου. Ἄλλους
προσκάλει.

κέ. **Μίκυλ.** Καὶ τοὐμὸν, ὦ Ῥαδάμανθυ, μικρόν ἐστι, καὶ βρα-
χείας τινὸς ἐξετάσεως δεόμενον· πάλαι γοῦν σοι καὶ γυμνός εἰμι,
ὥστε ἐπισκόπει. — **Ῥαδάμ.** Τίς δὲ ὢν τυγχάνεις; — **Μίκυλ.** Ὁ 2
σκυτοτόμος Μίκυλλος. — **Ῥαδάμ.** Εὖγε, ὦ Μίκυλλε, καθαρὸς 3
ἀκριβῶς καὶ ἀνεπίγραφος, ἄπιθι καὶ σὺ παρὰ Κυνίσκον τουτονί.
Τὸν τύραννον ἤδη προσκάλει. — **Ἑρμ.** Μεγαπένθης ὁ Λακύδου
ἡκέτω. Ποῖ στρέφῃ; Πρόσιθι. Σὲ τὸν τύραννον προσκαλῶ· πρό-
βαλλ' αὐτὸν, ὦ Τισιφόνη, ἐς τὸ μέσον, ἐπὶ τράχηλον ὠθοῦσα. Σὺ
δὲ, ὦ Κυνίσκε, κατηγόρει, καὶ διέλεγχε ἤδη· πλησίον γὰρ ἀνὴρ
οὑτοσί.

κς'. **Κυνίσ.** Τὸ μὲν ὅλον, οὐδὲ λόγων ἔδει· γνώσῃ γὰρ αὐτὸν αὐτίκα μάλα, οἷός ἐστιν, ἀπὸ τῶν στιγμάτων· ὅμως δὲ, κἀυτὸς ἀποκαλύψω σοι τὸν ἄνδρα, κἀκ τοῦ λόγου δείξω φανερώτερον· οὑτοσὶ γὰρ ὁ τρισκατάρατος, ὁπόσα μὲν ἰδιώτης ὢν ἔπραξε, παραλείψειν μοι δοκῶ· ἐπεὶ δὲ τοὺς θρασυτάτους προσεταιρούμενος, καὶ δορυφόρους συναγαγὼν, ἐπαναστὰς τῇ πόλει τύραννος κατέστη, ἀκρίτους μὲν ἀπέκτεινε πλείους ἢ μυρίους· τὰς δὲ οὐσίας ἑκάστων ἀφαιρούμενος, καὶ πλούτου πρὸς τὸ ἀκρότατον ἀφικόμενος, οὐδεμίαν μὲν ἀκολασίας ἰδέαν παραλέλοιπεν· ἁπάσῃ δὲ ὠμότητι, καὶ ὕβρει κατὰ τῶν ἀθλίων πολιτῶν ἐχρήσατο, παρθέ-

---

5. **Τάχιστα)** Ὅρα σημειώσ. ιϐ'. 2. — **Ἀπελ.)** Ὁ γὰρ φιλόσοφος εἴτι ἐν ἀπαιδευσίᾳ ὢν ἔπραξεν ἀτόπημα, σωφρονήσας ἀποκαθαίρει.

6. **Οὗτος)** Οἷον· ἀπελούσθης σὺ χρησάμενος ἀγαθῷ πάντως καὶ ὀνησιμωτάτῳ τινὶ φαρμάκῳ. — **Μακάρ. Νήσ.)** Μακάρων νήσους καὶ Ἠλύσια πεδία καλοῦσιν οἱ Ἕλληνες τὸν τόπον, ἔνθα διάγουσι τῶν ἀγαθῶν ἀνθρώπων αἱ ψυχαί. — **Οὗ φῄς τυρ.)** Κατηγορήσας πρότερον τοῦ τυράννου, ὃν λέγεις· ἡ σύνταξις ἀττική. — **Προσκάλει)** Ω' Ἑρμῆ.

κέ. **Τοὐμὸν)** Τὸ ἐμόν.

2. **Ὢν τυγχ.)** Ἀντὶ, τίς δὲ εἶ. — **Ἀνεπίγρ.)** Μηδεμίαν γραμμὴν ἢ στίγμα ἔχων.

3. **Προσκάλ.** Ω' Ἑρμῆ. — **Ὠθοῦσ.)** Λαβοῦσα ἀπὸ τοῦ τραχήλου ὤθει. — **Οὑτοσί)** Ἐστὶ δηλ. ὁ τύραννος.

κς'. **Ἀκρότ.)** Καὶ ἀφικόμενος πρὸς τὸ ἀκρότατον τοῦ πλούτου· ἤτοι, γενόμενος πλουσιώτατος.

νους διαφθείρων, καὶ ἐφήβους καταισχύνων, καὶ πάντα τρόπον τοῖς
ὑπηκόοις ἐμπαροινῶν· καὶ ὑπεροψίας μέν γε, καὶ τύφου, καὶ τοῦ
πρὸς τοὺς ἐντυγχάνοντας φρυάγματος, οὐδὲ κατ' ἀξίαν δύναιο
ἂν παρ' αὐτοῦ λαβεῖν τὴν δίκην· ῥᾴδιον γοῦν ἄν τις τὸν ἥλιον, ἢ
τοῦτον ἀσκαρδαμυκτὶ προσέβλεψεν· οὐ μὴν καὶ τὸ τῶν κολάσεων
πρὸς ὠμότητα καινουργὸν αὐτοῦ τίς ἂν διηγήσασθαι δύναιτο,
2 ὅς γε μηδὲ τῶν οἰκειοτάτων ἀπέσχετο; Καὶ ταῦτα ὅτι μὴ ἄλλως
κενή τίς ἐστι κατ' αὐτοῦ διαβολὴ, αὐτίκα εἴσῃ, προσκαλέσας τοὺς
ὑπ' αὐτοῦ πεφονευμένους· μᾶλλον δὲ ἄκλητοι ὡς ὁρᾷς πάρεισι,
καὶ περιστάντες, ἄγχουσιν αὐτόν· οὗτοι πάντες, ὦ Ῥαδάμανθυ,
πρὸς τοῦ ἀλιτηρίου τεθνᾶσιν· οἱ μὲν, γυναικῶν ἕνεκα εὐμόρφων
ἐπιβουλευθέντες· οἱ δὲ, υἱέων πρὸς ὕβριν ἀπαγομένων ἀγανακτή-
σαντες· οἱ δὲ, ὅτι ἐπλούτουν· οἱ δὲ, ὅτι ἦσαν δεξιοὶ, καὶ σώ-
φρονες, καὶ οὐδαμοῦ ἠρέσκοντο τοῖς δρωμένοις.

κζ'. Ῥαδάμ. Τί πρὸς ταῦτα φὴς, ὦ μιαρὲ σύ; — Μεγαπ.
Τοὺς μὲν φόνους εἴργασμαι, οὓς λέγει· τὰ δ' ἄλλα πάντα, τὰς
μοιχείας, καὶ τὰς τῶν ἐφήβων ὕβρεις, καὶ τὰς διαφθορὰς τῶν
2 παρθένων, ταῦτα πάντα Κυνίσκος μου κατεψεύσατο. — Κυνίσ.
Οὐκοῦν καὶ τούτων, ὦ Ῥαδάμανθυ, παρέξω σοι μάρτυρας. —
3 Ῥαδάμ. Τίνας τούτους λέγεις; — Κυνίσ. Προσκάλει μοι, ὦ Ἑρ-
μῆ, τὸν λύχνον αὐτοῦ, καὶ τὴν κλίνην· μαρτυρήσουσι γὰρ αὐ-
4 τοὶ παρελθόντες, οἷα πράττοντι συνηπίσταντο αὐτῷ. — Ἑρμ.
Ἡ κλίνη, καὶ ὁ Λύχνος ὁ Μεγαπένθους παρέστω· εὖγε ἐποίη-
σαν ὑπακούσαντες. — Ῥαδάμ. Εἴπατε οὖν ὑμεῖς, ἃ σύνιστε
5 Μεγαπένθει τούτῳ· προτέρα δὲ σὺ ἡ Κλίνη λέγε. — Κλίν. Πάν-
τα ἀληθῆ κατηγόρησε Κυνίσκος· ἐγὼ μέν τοι ταῦτα εἰπεῖν, ὦ
δέσποτα Ῥαδάμανθυ, αἰσχύνομαι· τοιαῦτα ἦν ἃ ἐπ' ἐμοῦ διε-
6 πράττετο. — Ῥαδάμ. Σαφέστατα μὲν οὖν καταμαρτυρεῖς, μηδ'
εἰπεῖν αὐτὰ ὑπομένουσα· καὶ σὺ δὲ ὁ Λύχνος ἤδη μαρτύρει
7 — Λύχν. Ἐγὼ τὰ μεθ' ἡμέραν μὲν, οὐκ εἶδον· οὐ γὰρ παρῆν·
ἃ δὲ τῶν νυκτῶν ἐποίει, καὶ ἔπασχεν, ὀκνῶ λέγειν· πλήν·

---

— Πάντα τρ.) Κατὰ πάντα τρόπον. — Ἐμπαροιν.) Ἐνυβρίζων· ἀπὸ μεταφορᾶς τῶν μεθυόντων.

— Φρύαγμ.) Ἀγριότης μετ' ἀλαζονίας τὸ φρύαγμα. — Λαβεῖν δίκ.) Τιμωρήσασθαι αὐτὸν κατ' ἀξίαν τῆς ὑπὲρ τοῦ τύφ. καὶ φρύαγμ.

2. Καὶ ταῦτ.) Καὶ ταῦτ' αὐτίκα εἴσῃ, ὅτι οὐκ εἰσὶν ἄλλως κενή τις διαβολή· ἔνθα τὸ μὴ πρὸς ὁριστικὸν κατ' ἀνάλυσιν μετοχῆς· οἷον καὶ ταῦτα αὐτίκα εἴσῃ μὴ ὄντα κενή τις διαβολή.

— Τεθνᾶσ.) Ὡς παρόντας δείκνυσι τοὺς ὑπὸ τοῦ τυράννου τεθνηκότας. — Οἱ δὲ τεθνᾶσιν.

κζ'. 2. Τίνας τούτ.) Τίνες εἰσὶν οὗτοι, οὓς λέγεις· οὕτως ἐκφράζεται τὸ ἰδίωμα τοῦτο.

3. Κλίν.) Ἐπειδὴ γὰρ καὶ φυτὰ λέγουσιν ἔμψυχα· ἐπίτειδες ὁ Λουκιανὸς καὶ λύχνον καὶ κλίνην εἰσάγει μαρτυροῦντα. — Συνηπ.) Συνεπίσταμαί τινι.

5. Κατηγόρ.) Πάντα εἰσὶν ἀληθῆ, ὅσα κατηγόρησε.

7. Τῶν νυκτ.) Διὰ τῶν νυκτῶν. —

ἀλλὰ ἐθεασάμην γε πολλὰ, καὶ ἄῤῥητα, καὶ πᾶσαν ὕβριν ὑπερπεπαικότα. Καί τοι πολλάκις ἑκὼν τοὔλαιον οὐκ ἔπινον, ἀποσβῆναι θέλων· ὁ δὲ, καὶ προσῆγέ με τοῖς δρωμένοις, καὶ τὸ φῶς μου πάντα τρόπον κατεμίαινεν.

κή. Ῥαδάμ. Ἅλις ἤδη τῶν μαρτύρων· ἀλλὰ καὶ ἀπόδυθι τὴν πορφυρίδα, ἵνα καὶ τὸν ἀριθμὸν ἴδωμεν τῶν στιγμάτων.
Παπαί! ὅλος οὑτοσὶ πελιδνὸς, καὶ κατάγραφος, μᾶλλον δὲ κυά- 2
νεός ἐστιν ἀπὸ τῶν στιγμάτων· τίνα οὖν κολασθείη τρόπον;
Ἆρ᾽ ἐς τὸν Πυριφλεγέθοντά ἐστιν ἐμβλητέος, ἢ παραδοτέος τῷ 3
Κερβέρῳ; — Κυνίσκ. Μηδαμῶς· ἀλλ᾽ εἰ θέλοις, ἐγώ σοι καινήν τινα καὶ πρέπουσαν αὐτῷ τιμωρίαν ὑποθήσομαι. — Ῥαδάμ.
Λέγε, ὡς ἐγώ σοι μεγίστην ἐπὶ τούτῳ χάριν εἴσομαι. — Κυ- 4
νίσκ. Ἔθος ἐστὶν οἶμαι τοῖς ἀποθνήσκουσι πᾶσι, πίνειν τὸ τῆς Λήθης ὕδωρ. — Ῥαδάμ. Πάνυ μὲν οὖν. — Κυνίσκ. Οὐκοῦν μόνος ἐξ ἁπάντων ἄποτος ἔστω.

κθ΄. Ῥαδάμ. Διὰ τί δή; — Κυνίσκ. Χαλεπὴν οὕτως ὑφέξει τὴν δίκην, μεμνημένος οἷος ἦν, καὶ ὅσον ἐδύνατο ἐν τοῖς ἄνω, καὶ
ἀναπεμπαζόμενος τὴν τρυφήν. — Ῥαδάμ. Εὖ λέγεις· καὶ κα- 2
ταδεδικάσθω, καὶ παρὰ τὸν Τάνταλον ἀπαχθεὶς οὑτοσὶ, δεδέσθω, μεμνημένος ὧν ἔπραξε κατὰ τὸν βίον.

## ΣΤ΄. ΧΑΡΩΝ, Η ΕΠΙΣΚΟΠΟΥΝΤΕΣ. (*)

### Ἑρμῆς, καὶ Χάρων.

ά. Ἑρμ. Τί γελᾷς, ὦ Χάρων; ἢ τί τὸ πορθμεῖον απο-

---

Ὑπερπεπαικ.) Ὑπερπαίω τὸ ὑπερβάλλω. — Τοὔλ.) Τὸ ἔλαιον. — Ὁ δὲ) Μεγαπένθης. — Πάντα τρόπον) Κατὰ πάντα τρόπον.

κή. Ἅλις ἤδη) Ἱκανὴ ἡ μαρτυρία.

2. Κατάγρ.) Πλήρης στιγμάτων ἐστίν.

3. Πυριφλ.) Ποταμὸς πυρὸς ἐν ᾅδου οὗτος. — Ἐμβλητ.) Δεῖ ἐμβληθῆναι. — Κερβέρῳ) Κύων δὲ οὗτος, τρεῖς κεφαλὰς ἔχων, φύλαξ τοῦ ᾅδου. — Εἴσομ.) Οἶδά σοι χάριν λέγουσιν οἱ Ἕλληνες οἱ ἀρχαῖοι, τὸ παρ᾽ ἡμῖν Εὐχαριστῶ.

4. Λήθης ὕδ.) Ποταμὸς ἐν ᾅδου, οὗ ἀπὸ τοῦ ὕδατος πίνουσαι αἱ ψυχαὶ, ἐπιλανθάνονται πάντα τὰ ἐν τῷ βίῳ· ὅρα καὶ Σημειώσ. 3. Ὥσπερ ἄλλος τις. — Ἐξ ἁπάντ.) Τὸ μόνος, ἅτε ὑπέρθεσιν σημαῖνον φύσει, καὶ οὐκ ἀπὸ σχηματισμοῦ, πρὸς γενικὴν φέρεται πληθυντικὴν κατὰ τὰ ὑπερθετικά. Ἔστι δὲ καὶ προθετοπτώτως μετὰ τῆς Ἐξ, ἢ Ἀπό.

κθ΄. Ὑφέξει τὴν δίκην) Καλῶς κολασθήσεται· τὸ γὰρ Ὑπέχω δίκην ἀντὶ τοῦ Κολάζομαι κεῖται. — Ὅσον ἐστ.) Καὶ καθ᾽ ὅσον. — Ἀναπεμπαζόμενος) Εἰς νοῦν ἀνακαλῶν.

2. Τάνταλον) Λέγουσιν ὅτι ὁ Τάνταλος, ἄνθρωπος ὢν, ἠξιώθη γενέσθαι τοῖς θεοῖς ὁμοτράπεζος, καὶ ἀκούων, ὅσα ἔλεγον, ἔλεγε τοῖς ἀνθρώποις, καὶ διὰ τοῦτο οἱ θεοὶ ὀργισθέντες, κολάζουσιν αὐτὸν ἐν τῷ ᾅδῃ· θεωρῶν γὰρ δένδρα πλήρη καρπῶν, καὶ ποταμοὺς παραῤῥέοντας, οὐδὲν αὐτῶν δύναται ἀπογεύσασθαι, αὐτοῦ γὰρ προσιόντος, ἐκεῖνα φεύγουσιν. — Ἔπραξε) Ἐκείνων δηλ. ἃ ἔπραξεν· ἡ σύνταξις Ἀττική.

ς΄. (*) Ἐπειδὴ ὑποτίθεται Χάρων εἰς περιήγησιν ἐπὶ γῆς ἀνελθὼν, καὶ βοηθείᾳ Ἑρμοῦ τῇ ἐπιθέσει τῶν ὀρέων, ἐπισκοπεῖται πάντα, ὅσα συμβαίνει ἐπὶ γῆς καθ᾽ ἡμέραν, διὰ τοῦτο καὶ τοιαύτης εὐμοίρησεν ἐπιγραφῆς ὁ διάλογος οὗτος. Ἔνθα παίζων Λουκιανὸς ἤθη τε διδάσκει, καὶ τὴν ματαιοφροσύνην τῶν ἀνθρώπων ἐλέγχει ἐν σχήματι παιδιᾶς.



ΙΩΑΝΝΙΝΑ 2006